Ich will die Frechheit dir schon legen.

WURSTHÄNDLER.

Ich mach' ein Ende deinen Schlichen.

KLEON.

Sieh ins Gesicht mir ohne Zwinkern.

WURSTHÄNDLER.

Ich auch bin auf dem Markt erwachsen.

KLEON.

Wenn du noch mucksest, ich zerhack dich.

WURSTHÄNDLER.

Thust du den Mund auf, ich bekack dich.

σου Ἀριστοφάνης 292 Pollux 2 67 *καὶ Ξενοφῶν ἀσκαρδαμυκτί, καὶ Ἀριστοφάνης ἀσκαρδάμυκτος.* Bekker anecd. gr. I 452 22 (Bachmann I 152) *ἀσκαρδαμυκτὶ ὁρᾶν μὴ καταμύοντα. Ἀριστοφάνης βλέψον εἰς ἐμὲ ἀσκαρδαμυκτί.* Etymol. M. 716 11 *τὸ κινεῖν καὶ μύειν τὰ βλέφαρα. καὶ βλέψον εἰς ἐμὲ ἀσκαρδαμυκτὶ Ἀριστοφάνης ἐν ἱππεῦσι* (cf. Phaborin. 295 36). Eustath. 756 58 *τὸν ἀδικητὴν ἀντιβλέψαι ἀσκαρδαμύκτως, ὡς καὶ ἡ κωμῳδία φησί.* 1754 41 *οὐ μὴν κατὰ τοὺς θρασυτέρους ἀσκαρδαμύκτως βλέπουσιν, ὡς ὁ κωμικὸς γράφει.* Suidas *ἀσκαρδαμυκτί ... καὶ ἀσκαρδάμυκτον. Ἀριστοφάνης βλέψον εἰς ἔμ' ἀσκαρδάμυκτον* 294 f. Eustath. 804 45 *καὶ τὸ διαφορεῖν τό τε παρὰ τοῖς ἰατροῖς καὶ τὸ κωμικόν.* 1376 10 *ἐξ αὐτοῦ δὲ καὶ τὸ ... διαφορεῖν, ὡς δῆλον ἐκ τοῦ διαφορήσω σε, ὃ κεῖται παρὰ τῷ κωμικῷ.* 1866 44 *ὁ μέντοι κωμικὸς ἐν τῷ διαφορήσω σε ἑτεροίαν δηλοῖ σημασίαν τῆς λέξεως.* Suidas (Phaborin. 1089 55) *κοπρία ὁ πηλός. καὶ Ἀριστοφάνης κοπροφορήσω σ' εἴ τι γρύξεις ἀντὶ τοῦ εἰ λαλήσεις, κόπρον σου παραφορήσω.* Phaborin. 497 34 *διαφορήσω σ' εἴ τι γρύξεις Ἀριστοφάνης* 295 Phaborin. 1090 6 *κοπροφορήσω ... Ἀριστοφάνης*

ΠΑΦΛΑΓΩΝ

ὁμολογῶ κλέπτειν, σὺ δ' οὐχί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

νὴ τὸν Ἑρμῆν τὸν ἀγοραῖον
κἀπιορκῶ γε βλεπόντων.

ΠΑΦΛΑΓΩΝ

ἀλλότρια τοίνυν σοφίζει,
καί σε φαίνω τοῖς πρυτάνεσιν
ἀδεκατεύτους τῶν θεῶν ἱ-
ρὰς ἔχοντα κοιλίας.

ΧΟΡΟΣ (στροφή)

ὦ μιαρὲ καὶ βδελυρὲ κρᾶκτα τοῦ σοῦ θράσους
πᾶσα μὲν γῆ πλέα, πᾶσα δ' ἐκκλησία καὶ τέλη
καὶ γραφαὶ καὶ δικαστήρι' ὦ βορβοροτάραξι καὶ
τὴν πόλιν ἅπασαν ἡμῶν ἀνατετυρβακώς,
ὅστις ἡμῶν τὰς Ἀθήνας ἐκκεκώφηκας βοῶν
κἀπὸ τῶν πετρῶν ἄνωθεν τοὺς φόρους θυννοσκοπῶν.

ΠΑΦΛΑΓΩΝ

οἶδ' ἐγὼ τὸ πρᾶγμα τοῦθ' ὅθεν πάλαι καττύεται.

---

296 οὐχί; vor *Brunck* 298 sagt Kleon nach RV. γ' ἐμβλεπόντων *Porson* 299 Wursthändler RV. σοφίζει (η) Δ (also σοφίζῃ) 300 καί σε φανῶ vulgo das metrische schol. zu 284 (Heliodoros?) sagt von 299—302: μήποτέ εἰσι δίστιχα τετράμετρα καταληκτικά (also καί σε φα|νῶ mit Daktylos im ersten Fuſse) φανῶ 'γὼ oder σέ γε φανῶ *Bentley* φαίνω *Brunck* φαινῶ R καὶ φανῶ σε *Porson* καὶ φανῶ τοῖσιν πρυτάνεσιν *G. Hermann* 301 f. ἀδεκατεύτων θεῶν R nach *Bekker*. ἱερὰς vor *G. Hermann*, der jedoch später ἔχοντα σ' ἱερὰς κοιλίας wollte 303 f. βδελυρὲ καὶ κεκράκτα vulgo (κεκρᾶκτα *Bothe*) καὶ κράκτα Δ βδελυρὲ σοῦ θράσους *Bentley* καὶ κατακεκρᾶκτα (früher σοῦ κεκράκτα θράσους) *G. Hermann* ὦ βδελυρὲ κράκτα *Dobree* (κρᾶκτα *Meineke*) καὶ κεκράκτα σοῦ *Bergk* 305 γῆ] ἡ γῆ R nach *Bekker* 312 ὅστιν οὔτις Δ. ἧμιν *Bentley*. ἐκκεκώφε̣ῳ̣κας (η) Δ ἐκκεκώφωκας *Porson* 313 τῆς πέτρας *Dobree*. πόρους vulgo φόρους ΡΓΘΔ. θυννοσκοπεῖς *Kock* 314 τοῦθ'] τοῦτο R nach *Bekker*

297 f. Suidas ἀγοραῖος ... καὶ ἀγοραῖος Ἑρμῆς. Ἀριστοφάνης νὴ τὸν Ἑρμῆν τὸν ἀγοραῖον Κἀπιορκῶ γε βλεπόντων 299 Suidas σοφιστής ... καὶ Ἀριστοφάνης λέγει σοφίζῃ ἀντὶ τοῦ τεχνάζῃ. Phaborin. 1669 26

KLEON.

Dafs ich ein Dieb, gesteh' ich; du nicht.

WURSTHÄNDLER.

Freilich bei Hermes, unserm Marktgott;
schwör' es ab dann, wenn's geseh'n ward.

KLEON.

Pflügst du so mit fremdem Kalbe?
nun, die Prytanen sollen's wissen,
dafs du die Götter um den Zehnten
deiner Wurst betrogen hast.

CHOR.

Schmutziger und ekelhafter Schreier, dein Frevelmuth
überschwemmt alles Land; jede Volkssitzung und jedes Amt,
ja die Justiz beherschst du allein, Wühler du im Kothe, der
schier in unsrer armen Stadt alles auf den Kopf gestellt,
der Athen mit seinem Schreien uns aufs neue stets betäubt,
auf die Staatseinkünfte lauernd gleich dem Fischer auf dem Fels.

KLEON.

O ich weifs, wo dies Complott man längst mir zugeschnitten hat.

σοφίζει. Ἀριστοφάνης ἀλλότρια σοφίζει τεχνάζει 300 ff. Athenaios 3 94 C *τῶν ἐδωδίμων κοιλιῶν μνημονεύει Ἀριστοφάνης ἐν ἱππεῦσι· φήσω σε ἀδεκατεύτους (αἱ δὲ κατεύτους* B) *κοιλίας πωλεῖν* 301 Hesych. *ἀδεκατεύτους. ὧν δεκάτην οὐδεὶς ἔδωκεν* (Phaborin. 33 36). Phot. 8 14 *ἀδεκατεύτους. ὧν οὐκ ἀνατέθειται ἡ δεκάτη τοῖς θεοῖς* (Bekker anecd. gr. I 342) 304 ff. Moschopul. *περὶ σχεδῶν* p. 22 *τέλη τὰ τελώνια καὶ αἱ ἀρχαί, ὡς παρ' Ἀριστοφάνει τοῦ σοῦ θράσους Πᾶσα γῆ μὲν πλέα, πᾶσα δ' ἐκκλησία καὶ τέλη Καὶ γραφαί* 309 ff. Suidas *βορβοροτάραξι (βορβοροτάραξε* CV) *Ἀριστοφάνης.* Phaborin. 376 43 *βορβοροτάραξι ταραχωδέστατε ταράττων ἡμῶν τὴν πόλιν ... Ἀριστοφάνης.* 998 32 *ὁ δὲ αὐτός φασιν ἐλέγετο καὶ βορβοροτάραξις* 310 f. Suidas *ἀνατετυρβακὼς ἀναταράξας ... Ἀριστοφάνης τὴν πόλιν ἅπασαν ἡμῶν ἀνατετυρβακώς* (Zonaras I 207) 312 Suidas *ἀνακεκώφηκας ... Ἀριστοφάνης* (Zonaras I 199). Phaborin. 599 40 *ἐκκεκώφηκας* 313 Suidas *θυννοσκοπῶν Ἀριστοφάνης* 314 Suidas *κατύεται ἀντὶ τοῦ συντίθεται συρράπτεται. Ἀριστοφάνης οἶδ' ἐγὼ τὸ πρᾶγμα τοῦθ' (ταῦθ'* *V) *ὅθεν πάλαι κατύεται.* Phaborin. 1021 44 *κατύεται*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

εἰ δὲ μὴ σύ γ᾽ οἶσθα κάττυμ᾽, οὐδ᾽ ἐγὼ χορδεύματα,
ὅστις ὑποτέμνων ἐπώλεις δέρμα μοχθηροῦ βοὸς
τοῖς ἀγροίκοισιν πανούργως ὥστε φαίνεσθαι παχύ,
καὶ πρὶν ἡμέραν φορῆσαι μεῖζον ἢν δυοῖν δοχμαῖν.

ΟΙΚΕΤΗΣ Α

κἀμὲ τοῦτ᾽ ἔδρασε ταὐτὸν νή Δί᾽ ὥστε κατάγελων
πάμπολυν τοῖς δημόταισι καὶ φίλοις παρασχεθεῖν,
πρὶν γὰρ εἶναι Περγασῆσιν ἔνεον ἐν ταῖς ἐμβάσιν.

ΧΟΡΟΣ

ἆρα δῆτ᾽ οὐκ ἀπ᾽ ἀρχῆς ἐδήλους ἀναί-
δειαν, ἥπερ μόνη προστατεῖ ῥητόρων;
ἦ σὺ πιστεύων ἀμέργει τῶν ξένων τοὺς καρπίμους
πρῶτος ὤν, ὁ δ᾽ Ἱπποδάμου λείβεται θεώμενος.
ἀλλ᾽ ἐφάνη γὰρ ἀνὴρ ἕτερος πολὺ
σοῦ μιαρώτερος ὥστε με χαίρειν,
ὅς σε παύσει καὶ πάρεισι· δῆλός ἐστιν αὐτόθεν·
πανουργίᾳ τε καὶ θράσει
καὶ κοβαλικεύμασιν.
ἀλλ᾽ ὦ τραφεὶς ὅθενπερ εἰσιν ἄνδρες οἵπερ εἰσίν,
νῦν δεῖξον ὡς οὐδὲν λέγει τὸ σωφρόνως τραφῆναι.

---

315 *τὰ χορδεύματα* Θ 316 *ὑπερτέμνων* (γρ. *ὑπο*) Θ 317 *ἀγροίκοισι* R (auch V nach *Dindorf*) ΓΘ schol. *πανοῦργος* schol. 318 *δυεῖν* R. *δοχμαῖν*] γρ. *δραχμαῖν* Γ 319—321 sagt Nikias bei *Elmsley*, der Chor nach *Beer* *τὸν αὐτὸν τρόπον καὶ ἡμᾶς ἐξηπάτηκεν* schol. 319 *καὶ νὴ Δία κἀμὲ τοῦτ᾽ ἔδρασε ταυτὸν* vulgo *νὴ Δία κἀμὲ* R *νὴ Δὶ κἀμὲ Dindorf* *κἀμὲ νὴ Δία τοῦτ᾽ Bentley* *κἀμὲ τοῦτ᾽ ἔδρασε ταὐτὸ* (*ταὐτὸν Enger*) *νὴ Δί᾽ Porson* *ἔδρασεν αὐτὸν νὴ Δί᾽ Bothe* *κἀμὲ νὴ Δί᾽ αὐτὸ τοῦτ᾽ ἔδρασεν Elmsley* *νὴ Δί᾽ αὐτὸ τοῦτο κἄμ᾽ ἔδρασεν* oder *νήχι κἀμὲ τοῦτ᾽ ἔδρασε Meineke.* *ὥστε καὶ γέλων Elmsley* 320 *δημόταις* V nach *Bekker.* *καὶ τοῖς φίλοις* V (nach *Bekker*) *ΘΛ.* *παρασχέθειν* vor *Elmsley* 321 *Περγασῆσιν* schol. *ἔναιον* R nach *Bekker* 325 *ῥητόρων*] *τῶν ῥητόρων* vor *Bentley* *ῥήτορος Dobree* 326 *ἀμέλγεις* vulgo *ἀμέλγει* R *ἀμέργεις Bothe* nach der Erklärung des schol. *παρὰ τὸν προσήκοντα καιρὸν ὠώρους τοὺς καρποὺς ἀποσπᾶν.* *ἀμέργει Kock* 327 *Ἱππόδαμος* var. lect. schol. *Ἱπποδάμου μὲν* (oder *γε, τοι*) *Bothe* *Ἱπποδάμνου G. Hermann* *Ἱπποδάμαντος Kock* 330 *πάρεστι* vulgo *πάρεισι* RV (letzterer nach *Bekker*) ACΓ *παρελθὼν Bentley.* *αὐτόθεν*] *ἐνταῦθα* A (B am Rande) *ἐνταῦθα* (γρ. *αὐτόθεν*) *ΓΘΛ.* *ἐστιν, αὐτόθεν G. Hermann* 331 *πανουργίᾳ*] RV (beide nach *Bekker*) ACΘ *ἐν πανουργίᾳ* vulgo *ἐν πανουργίᾳ θράσει τε Porson* (wie der Verfasser des metrischen schol. zu 322 diesen Vers mit dem folgenden zusammen als katalektischen Tetrameter

WURSTHÄNDLER.

Wüfstest du nicht zuzuschneiden, wäre mir Wurstmachen fremd;
grofser Mann, der schief geschnitt'nes Leder eines kranken Stiers
Bauern trüglich einst verkaufte, dafs es aussah stark und fest,
und kaum einen Tag getragen war zwei Spannen es zu lang.

DEMOSTHENES.

Wahrlich mir that er dasselbe, dafs den Gaugenossen ich
und den Freunden zum Gelächter diente, ja zum Kinderspott;
denn ich schwamm in meinen Schuhen, eh' ich Pergase erreicht.

CHOR (zu Kleon).

Uebtest du also nicht von Beginn grofse Scham-
losigkeit, die allein unsrer Volksführer Hort?
der vertrauend du die fetten von den Fremden tüchtig rupfst
höchstgebietend, während Archeptolemos zuschaut und sich härmt.
Aber ein anderer ist uns erschienen, weit
schmutz'ger als du noch, das freut mich von Herzen,
der dich bänd'gen wird und meistern, ausgemacht ist das schon jetzt,
mit Verruchtheit und mit Frechheit
und gemeinem Possenspiel. [Männer kommen,
(zum Wursthändler) Und nun, mein lieber, der du kommst, von wo die
jetzt zeige, dafs von keinem Werth ehrbare Zucht und Sitte.

---

gleich 326. 327. 330 gelesen hat) 332 *κοβαλικεύμασι* schol. 333 *ὅθεν πάρεισιν* V nach *Bekker*. *ἀλλ' ὦ τραφεὶς ἐνταῦθ', ὅθενπερ ἄνδρες οἵπερ εἰσίν G. Hermann*

316 Suidas *μοχθηρία ... Ἀριστοφάνης ... μοχθηροῦ βοὸς δέρμα ἀντὶ τοῦ ... Ἀριστοφάνης ὅστις ὑποτεμὼν ἐπώλεις δέρμα μοχθηροῦ βοός* 318 Etymol. M. 285 19 (Zonaras I 563) *Ἀριστοφάνης καὶ πρὶν ἡμέραν φορέσαι μεῖζον ἦν δυοῖν δοχμαῖν.* Suidas *δοχμὴ σπιθαμή. Ἀριστοφάνης πρὶν ἡμέραν φορῆσαι κτλ.* (cf. Phaborin. 529 19.) Mingarelli catalogus codicum in bibliotheca Naniana 492 *δοχμή ... ἀριστοφάνης καὶ πρὶν ἤ με φορέσαι μεῖζον κτλ.* 321 Phaborin. 1475 33 *Περγασῆσιν ὄνομα δήμου Ἀριστοφάνης* Grammatiker hinter dem Orion 187 34 *νήχω νῶ καὶ νέω, ὅ ἐστι κολυμβῶ. ὡς Ἀριστοφάνης ἱππεῦσιν ἔνεον ἐν ταῖς ἐμβάσεσι.* Cramer aneed. Paris. IIII 186 25 *ἔνεον ἔντες ἐμβάσιν* 326 Suidas *ἀμέλγειν ... Ἀριστοφάνης ἀμέλγεις τῶν ξένων τοὺς καρπίμους.* cf. Phabor. 139 28 *ἀμέργει ἀποστερεῖ* 327 Suidas *λείβεται τοῖς δακρύοις διάβροχος γίνεται. Ἀριστοφάνης ὁ δ' Ἱπποδάμου* (so A *Ἱππόδαμος* vor *Bernhardy*) *λείβεται θεώμενος.* Phaborin. 950 19 (schol.) *Ἱππόδαμος μόνος λείβεται καὶ ἡττᾶται.* 1162 17 *λείβεται* 330 Phot. 394 17 *πάρεισι παρελεύσεται* 332 Phaborin. 1075 48 *κοβαλικεύμασι ... Ἀριστοφάνης*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

καὶ μὴν ἀκούσαθ' οἷός ἐστιν οὑτοσὶ πολίτης.

ΠΑΦΛΑΓΩΝ

οὐκ αὖ μ' ἐάσεις;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

μὰ Δί' ἐπεὶ κἀγὼ πονηρός εἰμι.

ΧΟΡΟΣ

ἐὰν δὲ μὴ ταύτη γ' ὑπείκῃ, λέγ' ὅτι κἀκ πονηρῶν.

ΠΑΦΛΑΓΩΝ

οὐκ αὖ μ' ἐάσεις;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

μὰ Δία.

ΠΑΦΛΑΓΩΝ

ναὶ μὰ Δία.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

μὰ τὸν Ποσειδῶ, 330

ἀλλ' αὐτὸ περὶ τοῦ πρότερος εἰπεῖν πρῶτα διαμαχοῦμαι.

ΠΑΦΛΑΓΩΝ

οἴμοι διαρραγήσομαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

καὶ μὴν ἐγὼ οὐ παρήσω.

ΧΟΡΟΣ

πάρες πάρες πρὸς τῶν θεῶν αὐτῷ διαρραγῆναι.

ΠΑΦΛΑΓΩΝ

τῷ καὶ πεποιθὼς ἀξιοῖς ἐμοῦ λέγειν ἔναντα;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ὅτιὴ λέγειν οἷόστε κἀγὼ καὶ καρυκοποιεῖν. 335

---

335 οἷός ἐσθ' V (nach *Dindorf* 1830) ΘΔ 336 οὐκ αὖ] οὔκουν *Dobree*. μὰ] οὐ μὰ V nach *Bekker* 337 ἐὰν δὲ] ἀλλ' εἴ γε Δ am Rande. ταύτῃ] ταύτην *Casaubonus* 338 ἐάσεις; μὰ] so R (auch V nach *Bekker*; vgl. 336) ΓΘΔ ἐάσεις; οὐ μὰ vulgo 339 gewöhnlich nach 336 (totum versum V supra ponit post 337' *Bekker*), im R an dieser Stelle, wird von *Dindorf* ausgeworfen. αὐτὸ τοῦτο περὶ VΓΘΔ. διαμαχοῦμαί σοι R 340 μὴν ἐγώ σ' (σε ΘΔ) οὐ vulgo. μήν σ' ἐγὼ οὐ *Bentley* (V nach *Bekker*) κἀγὼ μήν σ' οὐ *Küster* καὶ μὴν ἐγὼ οὐ *Bothe* 341 πάρες einmal *Aldus* πάρες πάρες

WURSTHÄNDLER.

So hört denn, was der Mensch hier für ein Bürger ist, Athener!

KLEON.

Läfst du nicht mir das Wort erst?

WURSTHÄNDLER.

Nein, ein Lump bin ich ja selber.

CHOR.

Und giebt er so sich nicht, dann setz' hinzu, du stammst von Lumpen.

KLEON.

Läfst du mir nicht das Wort?

WURSTHÄNDLER.

Nein.

KLEON.

Doch bei Zeus!

WURSTHÄNDLER.

Nein bei Poseidon!

denn um den Vortritt grade will zuerst ich mit dir kämpfen.

KLEON.

Weh mir! ich platze vor Verdrufs.

WURSTHÄNDLER.

Ich lafs dich nicht, wahrhaftig!

CHOR.

O lafs ihn, bei den Göttern! uns zu Liebe lafs ihn platzen.

KLEON.

Mit welchem Recht erkühnst du dich mir feindlich hier zu sprechen?

WURSTHÄNDLER.

Weil ich zu sprechen auch versteh' und Brühen zu bereiten.

RV (beide nach *Bekker*) ACΓΘBP. *τὸν θεὸν* R nach *Bekker* 342 *πεποιθὼς*] *πέπονθας* (*γρ. πεπονθὼς*) *ΓΘ*. *ἐμοῦ λέγειν*] *λέγειν ἐμοῦ* RV nach *Bekker*. *ἐναντία* codd. *ἐναντί'* ed. *Brubachiana* 1544 *ἐναντί Bentley ἔναντα Bothe λέγειν ἐναντίον ἐμοῦ Brunck λ. ἐναντίον μου Burney ἐμοῦ γ' ἐναντί' εἰπεῖν Reisig βλέπειν ἔναντα Kock* 343 *οἱόσ' ἐγὼ* schol. *καρυκκοποιεῖν* vulgo (auch R nach *Bekker*, *καρυκκοποιῶν* nach *Dindorf* 1821) *καρυκοποιεῖν* VAΘ

343 Suidas *καρύκη ... καὶ καρυκοποιεῖν*. Phaborin. 994 14 *καρυκοποιεῖν ... πλαγίως δὲ τῇ λέξει ὡς μάγειρος ἐχρήσατο Ἀριστοφάνης*

ΠΑΦΛΑΓΩΝ

ἰδοὺ λέγειν. καλῶς γ᾽ ἂν οὖν σὺ πρᾶγμα προσπεσόν σοι
ὠμοσπάρακτον παραλαβὼν μεταχειρίσαιο χρηστῶς.
ἀλλ᾽ οἶσθ᾽ ὅ μοι πεπονθέναι δοκεῖς; ὅπερ τὸ πλῆθος.
εἴ που δικίδιον εἶπας εὖ κατὰ ξένου μετοίκου
τὴν νύκτα θρυλῶν καὶ λαλῶν ἐν ταῖς ὁδοῖς σεαυτῷ
ὕδωρ τε πίνων κἀπιδεικνὺς τοὺς φίλους τ᾽ ἀνιῶν,
ᾧου δυνατὸς εἶναι λέγειν. ὦ μῶρε τῆς ἀνοίας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

τί δαὶ σὺ πίνων τὴν πόλιν πεποίηκας ὥστε νυνὶ
ὑπὸ σοῦ μονωτάτου κατεγλωττισμένην σιωπᾶν;

ΠΑΦΛΑΓΩΝ

ἐμοὶ γὰρ ἀντέθηκας ἀνθρώπων τίν᾽; ὅστις εὐθὺς
θύννεια θερμὰ καταφαγὼν κᾆτ᾽ ἐπιπιὼν ἀκράτου
οἴνου χόα κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγούς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἐγὼ δέ γ᾽ ἤνυστρον βοὸς καὶ κοιλίαν ὑείαν
καταβροχθίσας κᾆτ᾽ ἐπιπιὼν τὸν ζωμὸν ἀναπόνιπτος
λαρυγγιῶ τοὺς ῥήτορας καὶ Νικίαν ταράξω.

---

344 οὖν σὺ] so *G. Hermann* οὖν τι vulgo οὖν σοι R οὖν V (nach *Bekker*) *ΓΘΔ* οὖν σοι πρᾶγμα προσπεσόν τι *Dindorf* 1821 345 χρητῶς R nach *Bekker* 346 ἀλλὰ γινώσκω ... ἢ οἶδα schol. ὅ μοι] ὅπερ RVΓ. ὅπερ πέπονθας schol. πεπονθέναι μοι δοκεῖς RV 347 κατ᾽ ἀξένου μετοίκου oder κατὰ ξένου ἢ μετοίκου *Meineke* 348 θρυλλῶν vulgo θρυλῶν RV 351 νῦν *Δ* 352 κατεγλωττησμένην R nach *Bekker* 353 τιν᾽ *Brunck* 354 θυννεῖα vulgo θυνία *Γ* θυνεῖα *Θ* θύννεια RV. ἄκρατον vulgo ἀκράτου R ἄκρατα *Θ* ἄκρατεῖ *Δ* 355 χοᾶ vulgo χόα R 356 δέ γ᾽] δ᾽ R. οὐείαν R 357 ἐκπιὼν vulgo ἐπιπιὼν R 358 Νικίαν] σφηκιὰν *Bentley*

345 Phaborin. 1892 23 ὠμοσπάρακτον λέγει Ἀριστοφάνης 347. 350 schol. V Hom. *Π* 59 κατὰ ξένου μετοίκου ὁ κωμικός. Suidas μέτοικοι ... εἴ που δικίδιον εἶπας εὖ κατὰ ξένου (ξένον BE) μετοίκου (μετοίκιον BE Med.), Ὧιον δυνατὸς εἶναι λέγειν 354 f. schol. 361 ὁ μὲν Κλέων ἔφησε θύννους θερμοὺς καταπιεῖν κτλ. Suidas θυννεῖα. θυννεῖα θερμὰ καταφαγὼν κᾆτ᾽ ἐπιπιὼν (ἐπιὼν V ἔπιὼν E cf. 357) ἄκρατον Οἴνου χοᾶ κασαλβάσω (καὶ σαλβάσω AV) τοὺς ἐν Πύλῳ στρατηγούς (Phaborin. 916 23) 355 schol. 358 ὁ Κλέων ἐπήνεγκε κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγούς. Suidas κασαλβάσω λοιδορήσω. Ἀριστοφάνης κασαλ-

KLEON.

Zu sprechen? ei! Käm von Geschäften dir was unter die Finger,
du würd'st gewifs ein hübsch Ragout daraus zusammen manschen.
Dir ist begegnet, merk' ich, was bei vielen Leuten vorkommt.
Ein klein Procefschen hat man mit Metoiken durchgefochten,
die Nacht geübt und auf der Strafse wohl sich überhöret,
mit Wassertrinken sich präpariert, die Freunde bafs gelangweilt;
gleich glaubt ein Redner man zu sein. O Unverstand, o Narrheit!

WURSTHÄNDLER.

Und was hast du getrunken, dafs so schön es dir geglückt ist,
die Stadt, von dir allein beschwatzt, ganz mausetodt zu machen?

KLEON.

Wer kann sich mir von sterblichen vergleichen? Eine Schüssel
Thunfisch will ich verzehren, eine Kanne reinen Sekt dann
austrinken und von Pylos unsre Feldherrn maulschellieren.

WURSTHÄNDLER.

Und einen Rindermagen ich und Schweingekröse schlucken,
dazu die Suppe trinken und dann ohne mich zu waschen
die Redner überkehlen und Herrn Nikias verblüffen.

βάσω τοὺς ἐν Πύλῳ στρατηγούς. Phaborin. 995 26 *κασαλβάσω Ἀριστοφάνης* 356 ff. schol. 361 *ὁ δὲ ἀλλαντοπώλης ἀπὸ τῆς αὐτῆς τέχνης ὁρμώμενος τὸ ἧνυστρον καὶ τὴν κοιλίαν καὶ τὸν ζωμὸν ἀντέθηκεν.* Athenaios 3 94 C *τῶν ἐδωδίμων κοιλιῶν μνημονεύει Ἀριστοφάνης ἐν ἱππεῦσι ... καὶ πάλιν ἐγὼ δέ γ' ἧνυστρον (ἐγὼ δ' ἧνυστραν* A *ἐ. δὲ ἠνύστραν* P *ἐ. δὲ κνύστραν* B) *βοὸς καὶ κοιλίαν ὑίνην* (so ABP *ὑείνην* VL) *Καταβροχθίσας κἄτ' ἐκπιὼν τὸν ζωμὸν ἀναπόνιπτος* (*ἀπόνιπτος* BP) *λαρυγγιῶ τοὺς ῥήτορας καὶ Νικίαν ταράξω.* Suidas *ἧνυστρον ... ἐγὼ δ' ἧνυστρον βοὸς καὶ κοιλίαν ὑείαν Καταβροχθίσας* (Zonaras I 996 Phaborin. 863 54). — *καταβροχθίσας ... ἐγὼ δ' ἧνυστρον βοὸς καὶ κοιλίαν ὑείαν Καταβροχθίσας λαρυγγιῶ τοὺς ῥήτορας* 357 f. Suidas *ἀναπόνιπτος ... κἄτ'* (*κάτ'* ABC) *ἐπιπιὼν τὸν ζωμὸν ἀναπόνιπτος λαρυγγιῶ τοὺς ῥήτορας.* Phaborin. 998 5 *καταβροχθίσας ἐκροφήσας καταπιών.* 175 14 *ἀναπόνιπτος ... Ἀριστοφάνης* 358 schol. 355 *πρὸς δὲ τὸ ῥηθὲν ὑπὸ τοῦ ἑτέρου κασαλβάσω ὡς στρατηγὸς* (l. *τοὺς στρατηγοὺς*) *ἀντέθηκεν καὶ Νικίαν ταράξω.* Plutarch. Nikias 4 *ὁ δ' Ἀριστοφάνους Κλέων* (sic) *ἀπειλῶν λέγει λαρυγγιῶ τοὺς ῥήτορας καὶ Νικίαν ταράξω.* Suidas *λαρυγγιῶ.* Phaborin. 1156 51 *λαρυγγιῶ τοὺς ῥήτορας Ἀριστοφάνης*

ΟΙΚΕΤΗΣ Α

τὰ μὲν ἄλλα μ᾽ ἤρεσας λέγων, ἓν δ᾽ οὐ προσίεταί με
τῶν πραγμάτων ὁτιὴ μόνος τὸν ζωμὸν ἐκροφήσει.

ΠΑΦΛΑΓΩΝ

ἀλλ᾽ οὐ λάβρακας καταφαγὼν Μιλησίους κλονήσεις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἀλλὰ σχελίδας ἐδηδοκὼς ὠνήσομαι μέταλλα.

ΠΑΦΛΑΓΩΝ

ἐγὼ δ᾽ ἐπεσπηδῶν γε τὴν βουλὴν βίᾳ κυκήσω.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἐγὼ δέ κινήσω γέ σου τὸν πρωκτὸν ἀντὶ φύσκης.

ΠΑΦΛΑΓΩΝ

ἐγὼ δέ γ᾽ ἐξέλξω σε τῆς πυγῆς θύραζε κύβδα.

ΟΙΚΕΤΗΣ Α

νὴ τὸν Ποσειδῶ κἀμέ τἄρ᾽, ἥνπερ γε τοῦτον ἕλκῃς.

ΠΑΦΛΑΓΩΝ

οἷόν σε δήσω ᾽ν τῷ ξύλῳ.

---

359 f. Demosthenes nach *Enger*, gewöhnlich der Chor. ἤνεσας Δ am Rande. με Τῶν πραγμάτων, ὁτιὴ vulgo με, Τῶν πραγμάτων ὁτιὴ *G. Hermann* 360 μόνος ὡς Γ μόνον *Bentley*. ἐκροφήσεις vor *Elmsley* 361 sagte der Chor vor *Casaubonus* (Kleon RV nach *Bekker*). λάβρακα *Dindorf* 363 ἐπεισπεσὼν P nach *Küster*, εἰσπεσὼν nach *Dindorf* 364 σοι Θ (σον *Bekker* durch einen Druckfehler). δὲ κενώσω σοί γε πρωκτὸν τοῦτον *Seager* 365 ἐγὼ δ᾽ R ἐγὼ δέ τ᾽ V (nach *Bekker*) ΘΔ ἐγὼ δέ γ᾽ *Brunck*. ἐξελῶ vulgo ἐξολῶ Θ (am Rande ἐξελῶ) ἐξολῶ Δ ἐξελλέγξω R ἐξέλξω *Porson*. τῆι πυγῆι V τῆς πυγμῆς AΘ (dieser am Rande τῇ πυγῇ) Δ (am Rande τῇ πηγῇ) τῆς πυγῆς R. κῦβδα *Meineke* 366 sagt gewöhnlich der Chor; καὶ ἐμὲ τὸν θεράποντα ἕλκε, ἐὰν τὸν ἀλλαντοπώλην ἕλκῃς schol. κἀμὲ γάρ codd. κἀμέ γ᾽ ἄρ᾽ *Brunck* κἀμέ τἄρ᾽ *Bothe*. ἥνπερ (εἴπερ Δ am Rande) τοῦτον *Aldus*. κἀμέ γ᾽ ἕλκε, τοῦτον ἥνπερ oder γ᾽ ἕλκ᾽, ἥνπερ γε *Bentley* ἐάνπερ γε *Porson* τοῦτόν γ᾽ ἐάνπερ *Reisig*. ἥνπερ γε τοῦτον ἕλκῃς hält *Dindorf* für schlechte Ergänzung einer Lücke 367 οἷόν σε schol. 'οἷον displicet' *Bergk*. δήσω τῷ vulgo δήσω ᾽ν τῷ *Elmsley*. nach diesem Verse, den er dem Wursthändler giebt, nimmt *Helbig* den Ausfall eines iambischen Trimeters an, den Kleon gesprochen habe (vgl. *Enger* in Jahns Jahrbb. 1854)

359 f. Hesych. οὐ προσίεταί μοι οὐκ ἀρέσκει μοι. Suidas προσίεται ἀρέσκεται προσδέχεται. Ἀριστοφάνης τὰ μὲν ἄλλα μ᾽ ἤρεσε τῶν πραγμά-

DEMOSTHENES.

Gar wohl gefällt mir, was du sprichst; nur eins behagt mir wenig,
dafs du der Staatsgeschäfte Suppe willst für dich behalten.

KLEON.

Verschlängst du Wölfe von Milet, Milet wirst du nicht schrecken.

WURSTHÄNDLER.

Doch füll' ich mir mit Speck den Bauch und pachte mir ein Bergwerk.

KLEON.

Ins Rathhaus stürz' ich, dort die Sachen gründlich zu verwirren.

WURSTHÄNDLER.

Mit deinem Allerwerthsten geh' ich um, als wär 'ne Wurst er.

KLEON.

Und ich, ich zerr' am Hintern gleich kopfüber aus der Thür dich.

DEMOSTHENES.

Das mufst du traun mit mir auch thun, wenn du's bei ihm voll-[bracht hast.

KLEON.

Ich spann dich in den Bock, pass' auf!

---

*των, ἓν δ' οὐ προσίεταί με ἀντὶ τοῦ οὐ πείθει με, Ὅτι ὡς μόνος τὸν ζωμὸν ἐκροφήσεις (ἐκφορίσεις *V).* Phaborin. 1577 9 *προσίεται ... Ἀριστοφάνης τὰ μὲν ἄλλα μ' ἤρεσκε τῶν πραγμάτων, ἓν δ' οὐ προσίεταί με ... Ὅτι μόνος τὸν ζωμὸν ἐκροφήσεις* 361 Athenaios 7 311 C *καὶ Ἀριστοφάνης δ' ἐν ἱππεῦσι μνημονεύει ὡς διαφόρων γενομένων τῶν περὶ τὴν Μίλητον λαβράκων, ὅταν οὕτως λέγῃ· ἀλλ' οὐ λάβρακας καταφαγὼν μιλησίους κλονήσεις.* Suidas *λάβραξ εἶδος ἰχθύος. καὶ παροιμία λάβρακας μιλησίους* (paroemiogr. graec. I 428 II 495) 362 Suidas *ἐδηδοκώς. — σχελίδες ... Ἀριστοφάνης ἀλλὰ σχελίδας ἐδηδοκὼς ὠνήσομαι μέταλλα.* Phaborin. 1722 25 *σχελίδας βοὸς πλευράν ... ὡς Αἰσχύλος λέγει καὶ Ἀριστοφάνης* 363 Phaborin. 1122 58 *κυκήσω ταράξω* 364 Philemon lexicon technol. 191 Eustath. 1151 12 *ἔτι δὲ καὶ ἡ παρὰ τῷ κωμικῷ φύσκη.* Suidas *φύσκη.* Phaborin. 1850 5 *φύσκη ... μέμνηται Ἀριστοφάνης ἐν ἱππεῦσιν.* cf. Boissonade anecdota gr. I 411 *ἐν τῷ περὶ λέξεων Διονυσίου. φύσκη τὸ παχὺ ἔντερον, ὃ λέγουσιν οἱ ἰδιῶται φούσκαν* 365 Eustath. 1954 19 *ἐκ τοῦ κρύβδην καὶ κύβδα τὸ κρύβδα καὶ κύβδα παρὰ τῷ κωμικῷ.* Suidas *κύβδα. ἐξελῶ σε τῇ πηγῇ (πυγῇ V Ox.) θύραζε κύβδα.* Phaborin. 1120 4 *κύβδα κύπτοντα. διὰ δὲ τοῦ σχήματος τὴν αἰσχύνην δείκνυσιν Ἀριστοφάνης* (das letztere bezieht sich auf V. 1354) 366 schol. 335 *ὧν τελευταῖος νὴ τὸν Ποσειδῶ κἀμὲ γάρ, ἥνπερ γε τοῦτον ἔλκῃς* 367 Phaborin. 1325 13 *Ἀριστοφάνης οἷόν σε δήσω τῷ ξύλῳ*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

διώξομαί σε δειλίας.

ΠΑΦΛΑΓΩΝ

ἡ βύρσα σου θρανεύσεται.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

δερῶ σε θύλακον κλοπῆς.

ΠΑΦΛΑΓΩΝ

διαπατταλευθήσει χαμαί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

περικόμματ᾽ ἔκ σου σκευάσω.

ΠΑΦΛΑΓΩΝ

τὰς βλεφαρίδας σου παρατιλῶ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

τὸν πρηγορῶνά σοὐκτεμῶ.

ΟΙΚΕΤΗΣ Α

καὶ νὴ Δί᾽ ἐμβαλόντες αὐ-
τῷ πάτταλον μαγειρικῶς
ἐς τὸ στόμ᾽, εἶτα δ᾽ ἔνδοθεν
τὴν γλῶτταν ἐξείραντες αὐ-
τοῦ σκεψόμεσθ᾽ εὖ κἀνδρικῶς
κεχηνότος
τὸν πρωκτὸν εἰ χαλαζᾷ.

ΧΟΡΟΣ (ἀντίστροφος)

ἦν ἄρα πυρός γ᾽ ἕτερα θερμότερα καὶ λόγων

---

369 *θρανεύσεται Δ* 371 *διαπατταλευθήση* R nach *Bekker διαπατταλευθήσῃ ΓΘ διαπατταλευθήσῃ Δ* 372 *ἐκ σοῦ* vulgo *ἐξ οὗ* (*γρ. ἐκ σοῦ*) *Γ ἔκ σου Dindorf* 373 *περιτιλῶ* vulgo *παρατιλῶ* R 374 *πρηγορεῶνα* vor *Bentley. σου γ᾽ ἐκτεμῶ* R *σου ἐκτεμῶ ΓΘΔ* 375—381 sagt nach der Ueberlieferung Demosthenes, während *Beer* sie dem Wursthändler zutheilt; passender würden sie dem Chore gegeben; vgl. 453 ff. 377 *εἶτά γ᾽* vulgo *εἶτα δ᾽* R *εἶτ᾽ ΓΘΔ* 378 *γλῶσσαν* R. *ἐξήραντες Θ ἐξήραντες Δ* 379 *σκεψόμεθ᾽* R nach *Bekker σκεψώμεθ᾽ Γ σκεψόμεθα Θ σκεψόμεθα Δ* 380 *κεχηνότ᾽ ἐς Schütz* 382 *πυρὸς ἕτερα* RΓΘ 383 *καὶ λόγων*] *καὶ λόγοι τῶν λόγων G. Hermann*

368 Suidas *διώξομαί σε δειλίας* 369 Suidas *θρανεύσεται ... ἡ βύρσα σου θρανεύσεται Ἀριστοφάνης ἱππεῦσι. — ξαίνειν ... φησὶν οὖν ἡ βύρσα σου τυπτομένη διαφθαρήσεται.* Zonaras I 1055 *θρανεύεται* (Phaborin.

WURSTHÄNDLER.

Dich klag' ich wegen Feigheit an.

KLEON.

Dir wird das Fell noch arg gegerbt.

WURSTHÄNDLER.

Ich schind' einen Schnappsack noch aus dir.

KLEON.

Auf die Erde nagl' ich dir die Haut.

WURSTHÄNDLER.

Ein Fricassee mach' ich aus dir.

KLEON.

Ich rupf dir die Augenwimpern aus (macht die entsprechende Geberde dazu).

WURSTHÄNDLER.

Ich reifs den Kropf dir aus dem Hals.

DEMOSTHENES.

Ja ja, und wie's der Köche Brauch,
thu'n schnell wir einen tücht'gen Pflock
ins Maul ihm und dann reifsen wir
von innen ihm die Zung' heraus
und schau'n ihm tapfren Muthes, steht
der Rachen auf,
am After nach den Finnen.

CHOR.

Ja es brennt andres Feuer heifser oft, und die Stadt

---

907 18 θρανεύσεται) ἐκταθήσεται. Ἀριστοφάνης ἡ βύρσα σου θρανεύσεται 370 Suidas δερῶ σε θύλακον κλοπῆς. Phaborin. 470 48 δερῶ σε θύλακον Ἀριστοφάνης 371 Suidas διαπατταλευθήσῃ χαμαί. Phaborin. 489 53 διαπατταλευθήσει ἐκταθήσῃ χαμαί 372 Suidas περιχόμματ' ἐκ σοῦ κατασκευάσω. Phaborin. 1483 25 περιχόμματα ἐκ τοῦ Ἀριστοφάνους 374 Suidas πρηγορεών 378 f. Suidas ἐξείραντες ... Ἀριστοφάνης τὴν γλῶσσαν ἐξείραντες αὐτοῦ ἐκκοψόμεθα 379 ff. Phaborin. 1853 47 Ἀριστοφάνης σκεψόμεθα εἰ χαλαζᾷ 381 Eustath. 853 59 χαλαζᾷ κατὰ τὸν κωμικὸν εἰπεῖν. Suidas χαλαζᾷ ἤτοι χαλαρός ἐστι. τὸν (τὸ *V) πρωκτὸν εἰ χαλαζᾷ 382 ff. Plutarch. Demetrios 12 ἦν δὲ ἄρα καὶ πυρὸς ἕτερα θερμότερα κατὰ τὸν Ἀριστοφάνη. Suidas (Phaborin. 860 52) ἦν ἄρα καὶ πυρὸς ἕτερα θερμότερα (θερμότερος E Med.) καὶ λόγων Ἐν πόλει τῶν ἀναιδῶν ἀναιδέστεροι (ἀναιδέστερα V ἀναιδέστερος E)

ἐν πόλει τῶν ἀναιδῶν ἀναιδέστεροι, καὶ τὸ πρᾶγμ᾽ ἦν ἄρ᾽ οὐ φαῦλον ὧδ᾽. ἀλλ᾽ ἔπιθι καὶ στρόβει,

μηδὲν ὀλίγον ποίει· νῦν γὰρ ἔχεται μέσος.
ὡς ἐὰν νυνὶ μαλάξῃς αὐτὸν ἐν τῇ προσβολῇ,
δειλὸν εὑρήσεις· ἐγὼ γὰρ τοὺς τρόπους ἐπίσταμαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἀλλ᾽ ὅμως οὗτος τοιοῦτος ὢν ἅπαντα τὸν βίον
κἄτ᾽ ἀνὴρ ἔδοξεν εἶναι τἀλλότριον ἀμῶν θέρος.
νῦν δὲ τοὺς στάχυς ἐκείνους, οὓς ἐκεῖθεν ἤγαγεν,
ἐν ξύλῳ δήσας ἀφαίνει κἀποδόσθαι βούλεται.

ΠΑΦΛΑΓΩΝ

οὐ δέδοιχ᾽ ὑμᾶς ἕως ἂν ζῇ τὸ βουλευτήριον
καὶ τὸ τοῦ δήμου πρόσωπον μακκοᾷ καθήμενον.

ΧΟΡΟΣ

ὡς δὲ πρὸς πᾶν ἀναιδεύεται κοὐ μεθί-
στησι τοῦ χρώματος τοῦ παρεστηκότος.
εἴ σε μὴ μισῶ, γενοίμην ἐν Κρατίνου κώδιον

---

385 f. *οὐκ ἦν Aldus οὐκ ἂν ἦν Ducker οὐκ ἄρ᾽ ἦν* V (nach *Bekker*) ΑCΓΘΔΒ schol. *ἦν ἄρ᾽ οὐ* R (*γρ. καὶ τὸ πρᾶγμα ἦν ἄρ᾽ οὐ φαῦλον Γ* am Rande). *φλαῦρον* schol. vor *ἀλλ᾽* eine Lücke von *Dindorf* angezeigt (sie braucht aber nicht gerade hier zu sein) *φαῦλον ὧδ᾽ οὐδ᾽ ἐλαφρόν Bergk* 387 *γρ. μηδὲν ἔλαττον ποίει* schol. *μηδὲν ἔλαττον* R *γρ. καὶ ἔλαττον Γ μήδ᾽ ἔλαττον Bothe μηδὲν ἐλαφρὸν Dindorf* 1835 *μηδὲν ὧν ἀρτίως νῦν ἔλαττον Bamberg* (de Ravennate et Veneto Aristophanis codd. Bonn. 1865). *πόει Γ ποιοῦ Bergk* 388 *μῖσος ΘΔ* (*μέσος* beide von zweiter Hand) 389 *ὡς ἂν* vor *Bentley*. *μαλάξῃς Δ. μαλάξῃς, αὐτὸν Casaubonus. σαυτὸν* R nach *Bekker*. *ἐν προσβολῇ* Θ nach 391 nimmt *Helbig* den Ausfall zweier Verse an (vgl. *Enger* in Jahns Jahrbb. 1854) 392 *εἶτ᾽ ἀνὴρ Bothe. ἀλλότριον* schol. 393 *οὓς τὰς στάχυς Γ* 394 *ἀφαίνει*] *ἀφαύει* vulgo *ἀφεῖναι* schol. *ἀφανεῖ* R *ἀφύνει Δ* 397 ff. der Verf. des metrischen schol. zu V. 382 behauptet, zwischen 396 und den Worten *εἴ σε μὴ μισῶ* befinden sich *τρία κῶλα τροχαϊκά*, wovon das erste und zweite akatalektische Dimeter seien, *τὸ μὲν κατὰ τὴν τετάρτην, τὸ δὲ κατὰ τὴν τρίτην ἴαμβον ἔχοντα* (also — ◡ — ⏑ | — ◡ ◡ — und — ◡ — ⏑ | ◡ — — ⏑), das dritte aber *καταληκτικὸν ἐφθημιμερές* (— ◡ — ⏑ | — ◡ —). Hiernach sagt *Bergk*, Heliodoros lese: *ὡς δὲ πρὸς πᾶν ἀναιδεύει Κοὐ μεθίστης τοῦ χρώματος Τοῦ παρεστῶτος*. er bezieht also *τὸ μὲν* auf das zweite, *τὸ δὲ* auf das erste dieser Kola, läfst *τοῦ χρω* im Sinne des Schreibers als Trochaios gelten und meint, hinter *παρεστῶτος* fehle noch ein Jambos an dieser Lesart des Helio-

zeugt noch schamlos'res Wort als die Schamlosigkeit, und so dumm
war der Plan wahrlich nicht. (zum Wursthändler) Doch nun weiter, fall' ihn an!
bleib' auf halbem Weg nicht stehn; in der Klemme steckt er jetzt.
Machst du ihn mit deinem Angriff jetzo mürbe, wirst du ihn
feig erfinden; denn ich kenn' ihn, glaube mir, auf Schritt und Tritt.

WURSTHÄNDLER.

Und obwohl sein ganzes Leben er sich also hat gezeigt,
schien ein ganzer Kerl er dennoch erntend wo er nicht gesät.
Jetzt zerdrücket er die Aehren, die von dort er hergeführt
und ans Holz allhier gebunden, loszuschlagen sie alsbald.

KLEON.

Nicht im mind'sten fürcht' ich euch, so lange noch das Rathhaus steht
und die Puppe Volk in Einfalt macht- und kraftlos sitzt und sitzt.

CHOR.

Unverschämt ist der Kerl, mag geschehn, was da will;
ändert niemals die Farb', immer bleibt er sich gleich.
Hafs' ich dich nicht, will ein Unterbett ich bei Kratinos sein

---

dor 398 *μεθίστηκε Hirschig* 399 *τοῦ τι προὐστηκότος G. Hermann* 400 f. gewöhnlich dem Kleon, im R dem Demosthenes (*Juntina* II), von *Dindorf* dem Chore gegeben 400 *εἰ σὲ Bergk.* ἐν vulgo ἂν Θ (γρ. ἔν) ΔP *εἰς τὴν οἰκίαν Κρατίνου κώδιον* schol. *ἐν Lamb. Bos τῶν Kock. κῴδιον Meineke* 386 ff. Suidas *στρόβει ... καὶ αὖθις ἀλλ' ἔπιθι καὶ στρόβει, νῦν γὰρ ἔχεται μέσος.* Phaborin. 1689 26 *στρόβει ... Ἀριστοφάνης* 392 ff. schol. Ald. Eccl. 146 *ὡς καὶ ἀλλαχοῦ τοὺς ἀλλοτρίους ἀμῶν στάχυς.* Suidas *ἀμώμενοι* (cf. *ἀλλότριον*) *... Ἀριστοφάνης τοὺς ἀλλοτρίους ἀμῶν στάχυας τούτους Ἐν ξύλῳ δήσας ἀφαύει κἀποδόσθαι λέγεται. — ἀφαυανθήσομαι* (cf. Zonaras I 357) *... καὶ ἀφαύει. Ἀριστοφάνης τοὺς ἀλλοτρίους ἀμῶν στάχυς τούτους Ἐν ξύλῳ δήσας ἀφαύει* (*ἀφαύοι* Med.) *κἀποδόσθαι* (*ἀφαύεικες ἀποδόσθαι* A) *βούλεται* 396 Suidas *μαχκοᾷ ... Ἀριστοφάνης καὶ τὸ δήμου πρόσωπον μαχκοᾷ καθήμενον* 397 ff. Suidas *ἐρύθημα ... ὃ δὲ προσαναιδεύεται κοὐ μεθίστησι τοῦ χρώματος τοῦ πάρεστηκότος. — παρεστηκότος* (cf. Phaborin. 1448 15) *προϋπάρχοντος ἑστῶτος. ὃ δὲ πρὸς πᾶν ἀναιδεύεται κοὐ μεθίστησι τοῦ χρώματος τοῦ παρεστηκότος* 400 f. schol. Pindar. Pyth. 4 407 *Ἀριστοφάνης ἤν σε μὴ μισῶ, γενοίμην ἐν Κρατίνου κώδιον.* Suidas *κώδιον προβάτειον δέρμα* (cf. Bachmann anecd. gr. I 286 Phot. 195 15). *Ἀριστοφάνης εἰ μή σε μισῶ, γενοίμην ἔν Κρατίνου* (*προβάτου* ABEV) *κώδιον Καὶ διδασκοίμην προσᾴδειν Μορσίμου* (*Μορσίμῳ* Med.) *τραγῳδίαν*

καὶ διδασκοίμην προσᾴδειν Μορσίμου τραγῳδίαν.
ὦ περὶ πάντ᾽ ἐπὶ πᾶσί τε πράγμασι
δωροδόκοισιν ἐπ᾽ ἄνθεσιν ἴζων,
εἶθε φανλως ὥσπερ εὗρες ἐκβάλοις τὴν ἔνθεσιν.
ᾄσαιμι γὰρ τότ᾽ ἂν μόνον
πῖνε πῖν᾽ ἐπὶ συμφοραῖς,
τὸν Ἰουλίου τ᾽ ἂν οἴομαι γέροντα πυρροπίπην
ἡσθέντ᾽ ἰηπαιωνίσαι καὶ βακχέβακχον ᾄσαι.

ΠΑΦΛΑΓΩΝ

οὗτοι μ᾽ ὑπερβαλεῖσθ᾽ ἀναιδείᾳ μὰ τὸν Ποσειδῶ
ἢ μήποτ᾽ ἀγοραίου Λιὸς σπλάγχνοισι παραγενοίμην.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἔγωγε νὴ τοὺς κονδύλους, οὓς πολλὰ δὴ ᾽πὶ πολλοῖς
ἠνεσχόμην ἐκ παιδίου, μαχαιρίδων τε πληγὰς
ὑπερβαλεῖσθαί σ᾽ οἴομαι τούτοισιν ἢ μάτην γ᾽ ἂν
ἀπομαγδαλιὰς σιτούμενος τοσοῦτος ἐκτραφείην.

---

401 *πρὸς ᾄδειν G. Hermann ὑπᾴδειν Cobet παρᾴδειν Bergk. τραγῳδίᾳ Meineke* 404 *ηὗρες Meineke. ἄνθεσιν ΘΛ.* das zweite metrische schol. zu V. 382 zählt nach diesem Verse noch einen Tetrameter: *τὰ δὲ γ′* (404) *ε′* (?) *τροχαϊκὰ τετράμετρα καταληκτικά. τὸ δὲ τέταρτον* (405) *ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ε′* (406) *ὅμοιον ἐκ διτροχαίου διιάμβου* 406 *πῖνε πῖνε* RV (V *πῖν᾽* nach *Bekker*) Γ *πῖνε πῖνε συμφοραῖς Bothe. ἐπ᾽ εἰσφοραῖς Fritzsche* 407 f. *τὸν Ἰουλίου γέροντα* schol. *Ἰουλίου*] *Ἰουλιήτην* (nämlich Simonides von Iulis auf Keos 'cum dactylo in tertia sede' *Ducker*, was *Bothe* verbesserte in *τὸν Ἰουλιήτην τ᾽ οἴομαι γ. π. Ἡσθέντ᾽ ἂν ἰηπαιωνίσαι*) *τὸν τ᾽ Οὐλίου τῶν Bothe* (nämlich ein Arzt als Priester des *Ἀπόλλων Οὔλιος*) *Ἰωλκίου Droysen Ἰουλιέα* (Simonides) *Schnitzer Σπουδίου Kock Βουλίου Meineke.* *οἶμαι* RVΘ. *παιδοπίπην* schol. *πυροπίτην* R *πυρροπίτον Λ πυροπίπην* bei *Scaliger* 408 *ἡσθέντα καὶ παιῶνα δὴ καὶ Aldus τὸ δὲ παιῶνα δὴ γράφεται παιηωνίσαι. ἢ ἡσθέντ᾽ ἰὴ παιὼν ᾄσαι* schol. *ἡσθέντ᾽ ἰηπαιωνίσαι* R *ἰὴ παιὼν αισαι* V *ἰὴ παιῶν᾽ ᾄσαι* AC *ἰὴ παιὼν ᾄσαι Γ ἰὴ παιῶνα ἆσαι Θ καὶ ἐκ παιῶν᾽ ἆσαι Λ* 410 *συγγενοίμην Mehler* 411 *ἐγὼ νὴ ... ᾽πὶ τοῖς πολλοῖς* R 412 *παιδίων μαχαιριδίων* vulgo *παιδίου μαχαιριδῶν* R. *τε* fehlt in *ΘΛ* 414 fehlt im R 414 f. *ἀπὸ μαγδαλιᾶς* vulgo (*μιγδαλιᾶς Θ μιγδαλίας Λ*) *ἀπομαγδαλιαῖς* R (415) *ἀπομαγδαλίας* (V nach *Bekker*) *Brunck ἀπομαγδαλιὰς Dindorf*

401 Westermann *βιογράφοι* 150 114 *ὁ δὲ Μόρσιμος Φιλοκλέους τοῦ τραγικοῦ υἱὸς πονηρὸς καὶ ἄμετρος ... Ἀριστοφάνης καὶ διδασκοίμην προσᾴδειν Μορσίμου τραγῳδίαν.* Suidas *Μόρσιμος ... Ἀριστοφάνης καὶ* (ohne *καὶ* AVE) *διδασκοίμην προσᾴδειν* (*προσᾴδην* *V) *Μορσίμου τραγῳδίαν* 402 ff. Suidas *ὦ περὶ πάντ᾽ ἐπὶ πᾶσί τε πράγμασι Δωρο-*

und in Morsimos' Tragödien mit zu singen angestellt.
Der unablässig du, wo's was zu schnappen giebt,
immer die süfsesten Blumen dir aussuchst,
wenn du deinen Fang so schnell doch, wie du ihn gewannst, verlörst!
Dann säng' ich nichts, als immer fort:
'trinke, trinke, die Zeit ist gut';
und auch des ... alter Sohn, der Metzenjäger, würde,
glaub' ich, sich freu'n und 'Paian o' und 'Bakchos Bakchos' singen.

KLEON.

Ihr sollt an Unverschämtheit mich bei Gott nicht überbieten,
sonst bleib' ich fern vom Opfer stets für Zeus den Marktbeschützer.

WURSTHÄNDLER.

Bei allen Backenstreichen, die ich je von Kindesbeinen
vielfach hab' auszustehn gehabt, und allen Messerschlägen,
grad' hiermit glaub' ich dich zu überbieten, oder ich müfste
umsonst so grofs geworden sein vom Abfall aus der Küche.

δόκοισιν ὑπ' ἄνθεσιν ἴζων, Εἶθε φαύλως ὥσπερ εὗρες ἐκβάλοις τὴν ἔνθεσιν. Ἄισαιμι γὰρ τότ' ἄν (γὰρ ἂν τότε AEC Med.) *μόνον Πῖνε πῖν' ἐπὶ συμφοραῖς, Τὸν Ἰουλίου τ' ἂν οἶομαι (οἶμαι* ABEC Med.) *γέροντα πυρροπίπην (πυροπίνην* A) *Ἡσθέντ' ἰηπαιωνίσαι καὶ βαχχέβαχχον ᾄσαι Ἀριστοφάνης* 404 Etymol. M. 460 40 *παρὰ δὲ τὸ θῶ εἴρηται καὶ ἔνθεσις ἡ τροφή.* Suidas *ἔνθεσις ὁ ἄκολος ὁ ψωμός. Ἀριστοφάνης εἶθε φαύλως ὥσπερ εὗρες ἐκβάλοις (ἐνβάλοις* *V) *τὴν ἔνθεσιν. — εὗρες. Ἀριστοφάνης εἶθε φαύλως ὥσπερ εὗρες κτλ. — φαύλως εὐκόλως εὐμαρῶς. Ἀριστοφάνης εἶθε φαύλως ὥσπερ εὗρες ἐκβάλλοις κτλ.* Phaborin. 653 49 *ἔνθεσιν τὴν τροφὴν λέγει Ἀριστοφάνης* 406 Eustath. opuscula (ed. Tafel) 279 58 *καὶ νῦν δὲ ἔτι γελῶμεν παρῳδοῦντες ἕκαστος ἑαυτῷ κωμικώτερον τὸ παῖζε παῖζ' ἐπὶ συμφοραῖς* 407 Eustath. 679 39 *ἐπιόπτεσθαι, ὅθεν καὶ ὁ παρθενοπίπης, καὶ ὁ πυρροπίπης δὲ παρὰ τῷ κωμικῷ.* 851 55 *ὁ κωμικὸς πυρροπίπην σκώπτει τινὰ ὡς ὀπιπτεύοντα τοὺς πυρρούς.* 1856 2 *καὶ ὁ παρὰ τῷ κωμικῷ πυρροπίπης.* 380 12 *καθολικώτερον δὲ τὸ γυναιμανὴς τοῦ παρθενοπίπης ... ὡς καὶ τοῦ πυρροπίπης ὁ παιδοφίλης.* 827 30 *ἀρρενοπίπην πρὸς ὁμοιότητα τοῦ παρθενοπίπης καὶ πυρροπίπης.* Suidas *πυρροπίπας (πυροπίπας* A*V) *ὁ Κλέων κτλ.* 408 Suidas *βαχχέβαχχον ᾄσαι* (Zonaras I 376 Phaborin. 349 3) 412 Pollux 10 104 *Ἀριστοφάνους γοῦν ἐν ἱππεῦσιν ὁ μάγειρος λέγει μαχαιρίδων τε πληγάς* 413 f. Suidas *ἀπομαγδαλία ... καὶ αὖθις Ἀριστοφάνης ὑπερβαλεῖσθαί σ' (πλὴν ὑπερβ.* ABCE) *οἶομαι τούτοισιν ἢ μάτην γ' ἂν Ἀπομαγδαλίας σιτούμενος τοσοῦτος ἐκτραφείην* (cf. Zonaras I 243) 414 f. Eustath. 1857 17 *καὶ μαγδαλιὰ παρὰ τῷ κωμικῷ, παρὰ δὲ ἄλλοις καὶ ἀπομαγδαλιά.* 1887 51 *τοῦ δὲ ἀπομάσσειν παράγωγον καὶ ἀπομαγδαλιὰ ἡ παρὰ τῷ κωμικῷ μαγδαλιά.* Phaborin. 249 9 *καὶ μαγδαλιὰ παρὰ τῷ κωμικῷ* (248 59 *ἀπομαγδαλιά*)

ΠΑΦΛΑΓΩΝ

ἀπομαγδαλιὰς ὥσπερ κύων; ὦ παμπόνηρε πῶς οὖν
κυνὸς βορὰν σιτούμενος μαχεῖ σὺ κυνοκεφάλλῳ;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

καὶ νὴ Δί᾽ ἄλλα γ᾽ ἐστί μου κόβαλα παιδὸς ὄντος.
ἐξηπάτων γὰρ τοὺς μαγείρους λέγων τοιαυτί·
᾽σκέψασθε παῖδες· οὐχ ὁρᾶθ᾽; ὥρα νέα, χελιδών᾽.
οἳ δ᾽ ἔβλεπον κἀγὼ ᾽ν τοσούτῳ τῶν κρεῶν ἔκλεπτον.

ΧΟΡΟΣ

ὦ δεξιώτατον κρέας σοφῶς γε προὐνοήσω,
ὥσπερ ἀκαλήφας ἐσθίων πρὸ χελιδόνων ἔκλεπτες.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

καὶ ταῦτα δρῶν ἐλάνθανόν γ᾽· εἰ δ᾽ οὖν ἴδοι τις αὐτῶν,
ἀποκρυπτόμενος ἐς τὰ κοχώνα τοὺς θεοὺς ἀπώμνυν
ὥστ᾽ εἶπ᾽ ἀνὴρ τῶν ῥητόρων ἰδών με τοῦτο δρῶντα·
᾽οὐκ ἔσθ᾽ ὅπως ὁ παῖς ὅδ᾽ οὐ τὸν δῆμον ἐπιτροπεύσει᾽.

ΟΙΚΕΤΗΣ Α

εὖ γε ξυνέβαλεν αὖτ᾽, ἀτὰρ δῆλόν γ᾽ ἀφ᾽ οὗ ξυνέγνω·
ὁτιὴ ᾽πιώρκεις θ᾽ ἡρπακὼς καὶ κρέας ὁ πρωκτὸς εἶχεν.

ΠΑΦΛΑΓΩΝ

ἐγώ σε παύσω τοῦ θράσους, οἶμαι δὲ μᾶλλον ἄμφω.
ἔξειμι γάρ σοι λαμπρὸς ἤδη καὶ μέγας καθιεὶς
ὁμοῦ ταράττων τήν τε γῆν καὶ τὴν θάλατταν εἰκῇ.

---

415 *παμπόνηρε; πῶς Bothe* 416 *μάχει* RV (beide nach *Bekker*) A *μάχῃ Γ. κυνοκεφάλῳ* vulgo *κεφάλῳ* A *σὺ γε κυνοκεφάλῳ Küster σὺ κυνοκεφάλλῳ Dindorf κυνοκνεφάλλῳ Fritzsche κυνοκεφάλῳ μαχεῖ σύ* oder *μαχεῖ κυνοκεφάλῳ σύ Meineke* 417 *νὴ τὸν Δί᾽* R. *ἀλλά γ᾽ ἔστι Bothe. μοι Γ* 418 *μαγείρους ἐπιλέγων* vulgo *μ. λέγων* RVΓΘ *μ. ἤρι λέγων Kock μαγειρίσκους λέγων Bergk μαγείρους ἂν λέγων Bernhardy μ. ποτὲ λέγων Enger* etwa *ἔτι λέγων?* 419 *νέα χελιδών* schol. *ἐπ᾽ ὠράνῳ χελιδών Spanheim ἔαρος νέα Küster. χεδών* R nach *Bekker* 420 *κἀγὼ ἐν Θ* 421 *ὡς σοφῶς* vor *Bentley. προὐνοήθης Mehler* 422 *ἀκαλήφας Δ* 423 ohne *γ᾽* RV (letzterer nach *Bekker*) *ΓΘ ἐλάνθανον ἄν Lenting* 424 *τὰ κοχώνα* R *οὐδετέρως δ᾽ ἔφη τὰ κόχωνα* schol. *τὰς κοχώνας* VBΔ (*κοχῶνας* nach *Dindorf* 1830) P *τὼ κοχώνα Dobree ἀπώμνυον* vor *Bentley* (*ἀπώμνυν* V nach *Bekker*) 425 *ὥστ᾽*] *ὡς* R. *ταῦτα Δ* am Rande 426 *ἐπιτροπεύει Γ ἐπιτροπεύσει Θ* 427 f. Demosthenes nach *Enger*, gewöhnlich der Chor. *εὖ τε* schol. 428 *᾽πιόρκεις* vulgo, verbessert von *Bentley* (*᾽πιώρκεις* RV nach *Bekker*). ohne *θ᾽* R. *καὶ τὸ κρέας* V *τὸ κρέας δ᾽ ὁ πρωκτὸς Kock καὶ τὸ*

KLEON.

Vom Abfall wie ein Hund? Wie kannst du ganz gemeiner Schurke,
nährst du vom Fraſs der Hunde dich, dem Hundskopf trotzen wollen?

WURSTHÄNDLER.

Noch andre Kniffe weifs ich dir aus meiner zarten Jugend.
Zum besten hatt' ich das Küchenpersonal, sprach unverfroren:
'schaut, Kinder! seht ihr nichts? es naht der Frühling; eine Schwalbe!'
Da glotzten sie, und ich indefs nahm etwas mir vom Fleische.

CHOR.

O allerschlaustes Menschenkind, das hast du fein ersonnen,
hast zum Salat vor Frühlingsanfang Nesseln dir gestohlen.

WURSTHÄNDLER.

Und solches that ich ungesehn; bemerkt' es aber einer, [Göttern,
dann zwischen die Schenkel den Raub gesteckt schwor ich bei allen
so dafs der Redner einer, der mir zugesehen, sagte:
'der Junge schwingt gewifs noch mal sich auf zum Volksregierer'.

DEMOSTHENES.

Er hat es wohl getroffen, und woher er's rieth, ist deutlich:
du schworst den Diebstahl ab, und dennoch steckt' am A — der Braten.

KLEON (zum Wursthändler).

Ich treib die Frechheit dir schon aus, vielmehr euch allen beiden.
Denn fegen will ich wie ein Sturm gewaltig und grofsmächtig,
im Wirbel aufs Gerathewohl erschütternd Land und Meere.

κρέας εἶχ' ὁ πρωκτός Meineke τὸ κρέας θ' ὁ πρωκτὸς Bergk 430 *καταεὶς Dawes. λαμπρὸς ἤδη καικίας μέγας τε Porson* 431 *θάλασσαν* R. *εἰχῇ* vor *Brunck* (RV nach *Bekker*)

415 f. Thomas Magister 356 17 (cf. Cramer anecd. Par. I 397) *σιτοῦμαι δὲ αἰτιατικῇ, ὡς παρ' Ἀριστοφάνει πῶς οὖν Κυνὸς βορὰν σιτούμενος μάχῃ σὺ κυνοκεφάλῳ;* 416 Phrynichos bei Bekker anecd. gr. I 49 *κυνοκέφαλλος διὰ τῶν δυοῖν λ οἱ Ἀττικοί.* Phot. 188 11 *κυνοκέφαλον ἐν τοῖς δύο λλ λέγουσιν. οὕτως Ἀριστοφάνης.* Suidas (Phaborin. 1130 35) *κυνοκέφαλος. ὁ Κλέων ἑαυτὸν οὕτω καλεῖ κτλ.* 418 ff. Suidas *νέα χελιδὼν ἐπὶ ἐξαπατώντων τινάς. Ἀριστοφάνης ὄρνισιν ἐξηπάτων* (ἐξηπάτουν A) *γὰρ τοὺς μαγείρους λέγων τοιαυτί· Σκέψεσθε* (σκέψασθε C*V) *παῖδες·* (παῖδας *V) *οὐχ ὁρᾶθ'; ὥρα,* (ὁρᾶτ' ἄρα ABVE Med.) *νέα χελιδών. Οἳ δ' ἔβλεπον κἀγὼ 'ν τοσούτῳ* (κἀγὼν τ. Med. *κἀγὼ τοσούτων* A *κἠγὼ τοσοῦτον* V *κἀγὼ τοιοῦτον* *V) *τῶν κρεῶν ἔκλεπτον* 430 Phaborin. 971 29 *καθιεὶς ἀντὶ τοῦ παρεσκευασμένος κεῖται παρὰ τῷ Ἀριστοφάνει* 431 schol. 624 *πρὸς τὴν ἀπειλήν, ἣν ἠπείλησεν ὁ Κλέων εἰπὼν συνταράξειν τήν τε γῆν καὶ τὴν θάλατταν ἐπ' αὐτῷ* (vgl. zu 692. 696)

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἐγὼ δὲ συστείλας γε τοὺς ἀλλᾶντας εἶτ᾽ ἀφήσω
κατὰ κῦμ᾽ ἐμαυτὸν οὔριον κλάειν σε μακρὰ κελεύσας.

ΟΙΚΕΤΗΣ Α

κἄγωγ᾽ ἐάν τι παραχαλᾷ τὴν ἀντλίαν φυλάξω.

ΠΑΦΛΑΓΩΝ

οὗτοι μὰ τὴν Λήμητρα καταπροίξει τάλαντα πολλὰ
κλέψας Ἀθηναίων.

ΧΟΡΟΣ

ἄθρει καὶ τοῦ ποδὸς παρίει,
ὡς οὗτος ἤτοι καικίας ἢ συκοφαντίας πνεῖ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

σὲ δ᾽ ἐκ Ποτιδαίας ἔχοντ᾽ εὖ οἶδα δέκα τάλαντα.

ΠΑΦΛΑΓΩΝ

τί δῆτα; βούλει τῶν ταλάντων ἓν λαβὼν σιωπᾶν;

ΧΟΡΟΣ

ἀνὴρ ἂν ἡδέως λάβοι. τοὺς τερθρίους παρίει·
τὸ πνεῦμ᾽ ἔλαττον γίγνεται.

ΠΑΦΛΑΓΩΝ

φεύξει γραφὰς
ἑκατονταλάντους τέτταρας.

---

432 *ἀλλάντας* R nach *Bekker* 433 *κλαιειν* R. *σε*] *τε ΘΔ. μακρὰ*] *πολλὰ* R. *κελεύων* vulgo *κελεύσας* R 434 von *Beer* dem Chore zugetheilt. *ἐάν*] *ἂν ΓΘΔ* schol. *τὴν*] *τι* R nach *Bekker* 435 *καταπροίξῃ* schol. *καταπροίξηι* R nach *Bekker* 436 f. *ἄθρει ... πνεῖ* giebt R dem Wursthändler, *Meineke* dem Demosthenes 437 *ἤδη* vulgo *ἤτοι* R *ἤδη γε Küster. καικίας* vulgo *καικίας* (V nach *Bekker*) var. lect. schol. (*γρ.* ΘΒ) *κἀχίας Bentley. καὶ συκοφαντίας* vulgo *ἢ συκ.* R 438 sagte Kleon, 439 der Wursthändler vor *Küster* 438 *σέ τ᾽* VΓΘΔ. *ἔχ γε Bothe. Ποτειδαίας Thiersch* 440 Demosthenes bei *Bergk.* schol. *φησὶν οὖν ὁ Κλέων, πάντων ἂν ὑπερίδοι ἕνεκεν λήμματος* mufs geschrieben werden: *φησὶν οὖν, ὁ Κλέων πάντων κτλ.*, weil der Verfasser V. 438 den Kleon, 439 den Wursthändler sprechen liefs. *ἀνὴρ .. λάβοι* von *Schütz* verworfen, welcher schreiben wollte: ΧΟ. *τὸ πνεῦμ᾽ ἔλαττον γίγνεται. τοὺς δὴ θρίους παρίει. ἀνὴρ* codd. *ὦ ᾽νὴρ Brunck ᾽ἀνὴρ Dawes ἀνὴρ Dindorf. λάβῃ* A. *τερθρίους* R *τεθρίους* AB *τούς τε θρίους* VCΓΔ *τοὺς δὲ θρίους Portus τοὺς δὴ θρίους Brunck* 441 sagt gewöhnlich der Wursthändler, im R der Chor; *Bergk* wirft den Vers mit *Göttling* aus und schreibt: *παρίει.* ΚΛ. *φεύξει γραφὰς ἑκατὸν τάλαν* oder *παρίει.* ΚΛ. *ἐὰν δὲ μή, φεύξει γραφὰς Ἑκατονταλάντους τέτταρας. γίνεται* R nach *Bekker* 442 ohne Person-

WURSTHÄNDLER (indem er seine Waare zusammenrafft).

Dann zieh' ich meine Würste ruhig ein und überlasse
zur guten Stunde mich der Fluth und scher' um dich mich gar nicht.

DEMOSTHENES.

Und wird das Schifflein etwa leck, will ich die Pumpe hüten.

KLEON.

Du sollst uns bei Demeter nicht umsonst so viel Talente
gestohlen haben.

CHOR (zum Wursthändler).

Jetzt pafs' auf und mach das Segel locker,
denn nunmehr bläst er als Nordost und Sykophanten-Bise.

WURSTHÄNDLER.

Du unterschlugst bekanntlich zehn Talent' aus Potidaia.

KLEON (schnell einfallend).

Was meinst du? willst du eins davon und reinen Mund dann halten?

CHOR.

Er nähm' es gar zu gerne. (zum Wursthändler) Mach die Raaentaue locker!
schon läfst der Wind ein wenig nach.

KLEON.

Ich klage dich
auf hundert Talente viermal an.

---

bezeichnung R nach *Dindorf* 1837 (Chor 1821), Chor und Wursthändler bei *Bothe*. *φεύξει ... τέτταρας* als trimeter iamb. schol. *Dindorf* 1821 nahm im Anfang des Verses eine Lücke an *ἀλλ' ἀλογίου φεύξει Bergk* I *λιποταξίου φεύξει Kock* (*παραπρεσβείας, κακώσεως, προαγωγίας Teuffel*) *φεύξει γραφὰς δωροδοκίας Göttling φεύξει γραφὰς σὺ δειλίας Meineke*. soll vor *φεύξει* ein halber Dimeter ergänzt werden (in welchem nach *Droysen* der Wursthändler auf die Frage 439 geantwortet haben müfste), so fehlen in der Strophe zwei Dimeter

433 Phaborin. 1060 50 *κλάειν σε μακρὰ κελεύων* 435 schol. Vesp. 1396 *καταπροίξει ... καὶ τοῦτο δὲ ἐν ἄλλοις* (cf. Bekker anecd. gr. I 275). Suidas *καταπροίξῃ. τουτέστιν οὐ μὴ καταφρονήσεις κτλ.* Phaborin. 1008 29 *καταπροίξεις καταφρονήσεις.* 32 *καταπροίξῃ μου καταφρονήσεις* 436 schol. 440 *διὰ τὸ προάγον τοῦ ποδὸς παρίει* 437 Plutarch. Moral. IIII 853 B *καὶ οὗτος ἤτοι κακίας ἢ συκοφαντίας πνεῖ.* schol. 441 *φθάσας εἶπεν ἤτοι κακίας καὶ συκοφαντίας (κακίαν καὶ συκοφαντίαν Θ) αὐτὸν πνεῖν.* Phaborin. 973 48 *καικίας ὄνομα ἀνέμου* 440 schol. 409 *ὧν τελευταῖος ἀνὴρ ἂν ἡδέως λάβοι. τοὺς τερθρίους παρίει*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

σὺ δ᾽ ἀστρατείας εἴκοσιν
κλοπῆς δὲ πλεῖν ἢ χιλίας.

ΠΑΦΛΑΓΩΝ

ἐκ τῶν ἀλιτηρίων σέ φη-
μι γεγονέναι τῶν τῆς θεοῦ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

τὸν πάππον εἶναί φημί σου
τῶν δορυφόρων.

ΠΑΦΛΑΓΩΝ

ποίων φράσον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

τῶν Βυρσίνης τῆς Ἱππίου.

ΠΑΦΛΑΓΩΝ

κόβαλος εἶ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

πανοῦργος εἶ.

ΧΟΡΟΣ

παῖ᾽ ἀνδρικῶς.

ΠΑΦΛΑΓΩΝ

ἰοὺ ἰού
τύπτουσί μ᾽ οἱ ξυνωμόται.

ΧΟΡΟΣ

παῖ᾽ αὐτὸν ἀνδρειότατα καὶ
γάστριζε καὶ τοῖς ἐντέροις
καὶ τοῖς κόλοις
χὤπως κολᾷ τὸν ἄνδρα.

---

443 f. 447 f. 449. 450 giebt R die Worte des Wursthändlers dem Kleon, 445 f. 448. 450 die des Kleon dem Wursthändler 443—446 Kleon nach *Beck* 443 *ἀστρατίας* R. *γ᾽ εἴκοσιν* vulgo ohne *γ᾽* R 444 *πλεῖον Δ* 445 *ἀλιτηρῶν Bentley τῶν τιν᾽ ἀλιτηρίων* (ohne *ἐκ*) *G. Hermann* 448 *δωροφόρων* bei *Scaliger* 449 *τῶν*] *τὸν* R nach *Bekker* 453 *ἀνδρικώτατα Aldus ἀνδρικώτατα καὶ* RVΓΔ *ἀνδρικώτατ᾽ αὖ Reisig ἀνδρικώτατ᾽, εὖ Elmsley ἀνδρειότατα καὶ Dindorf ἀνδρικωτάτως G. Hermann* 454 *γαστρί*

WURSTHÄNDLER.

Ich zwanzigmal dich der Desertion,
des Diebstahls über tausendmal.

KLEON.

Ich geb dich als Complicen an
des Frevels an der Göttin Bild.

WURSTHÄNDLER.

Und ich behaupte, dafs dein Ahn
Leibwächter war.

KLEON.

In welchem Corps?

WURSTHÄNDLER.

Im Gerbe-Corps von Hippias' Weib.

KLEON.

Du ganz gemeiner

WURSTHÄNDLER.

schlechter Kerl!

CHOR.

Schlag tüchtig zu!

KLEON.

Au au, mein Kopf!
die Verschwor'nen hauen mich zu Mus.

CHOR.

Nur immer tapfer zugehau'n!
schlag' um den Bauch ihm das Gedärm
und Eingeweid',
und gerb das Fell ihm weidlich!

γε R nach *Bekker*. γάστριζε τοῖσιν *Brunck* 455 κώλοις Θ. καὶ τοῖσι κώλοις *Bothe* 456 κολᾷς *Brunck*

445 Suidas ἀλιτήριος ... Ἀριστοφάνης ἱππεῦσιν ἐκ (ἢ Α) τῶν ἀλιτηρίων σέ φημι γεγονέναι τῶν τῆς θεοῦ 449 Hesych. Βυρσίνης Μυρσίνης. ἦν δὲ αὕτη γυνὴ Ἱππίου τοῦ τυράννου. ἐν τοῖς ἱππεῦσι (Phaborin. 395 16) 454 f. Plutarch. Moral. IIII 853 C καὶ γαστρὶ ζῇ καὶ τοῖς ἐντέροις Καὶ τοῖς κόλοις 456 Phaborin. 1079 16 κολᾷ τὸν ἄνδρα Ἀριστοφάνης

ὦ γεννικώτατον κρέας ψυχήν τ᾽ ἄριστε πάντων
καὶ τῇ πόλει σωτὴρ φανεὶς ἡμῖν τε τοῖς πολίταις,
ὡς εὖ τὸν ἄνδρα ποικίλως Θ᾽ ὑπῆλθες ἐν λόγοισιν.
πῶς ἄν σ᾽ ἐπαινέσαιμεν οὕτως ὥσπερ ἡδόμεσθα;

ΠΑΦΛΑΓΩΝ

ταυτὶ μὰ τὴν Δήμητρά μ᾽ οὐκ ἐλάνθανεν
τεκταινόμενα τὰ πράγματ᾽, ἀλλ᾽ ἠπιστάμην
γομφούμεν᾽ αὐτὰ πάντα καὶ κολλώμενα.

ΧΟΡΟΣ

οἴμοι σὺ δ᾽ οὐδὲν ἐξ ἀμαξουργοῦ λέγεις;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

οὔκουν ἐν Ἄργει μ᾽ οἷα πράττει λανθάνει·
πρόφασιν μὲν Ἀργείους φίλους ἡμῖν ποιεῖ,
ἰδίᾳ δ᾽ ἐκεῖ Λακεδαιμονίοις ξυγγίγνεται.
καὶ ταῦτ᾽ ἐφ᾽ οἷσίν ἐστι συμφυσώμενα
ἐγῷδ᾽, ἐπὶ γὰρ τοῖς δεδεμένοις χαλκεύεται.

ΧΟΡΟΣ

εὖ γ᾽ εὖ γε, χάλκευ᾽ ἀντὶ τῶν κολλωμένων.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

καὶ ξυγκροτοῦσιν ἄνδρες αὖτ᾽ ἐκεῖθεν αὖ,
καὶ ταῦτά μ᾽ οὔτ᾽ ἀργύριον οὔτε χρυσίον

διδοὺς ἀναπείσεις οὔτε προσπέμπων φίλους
ὅπως ἐγὼ ταῦτ᾽ οὐκ Ἀθηναίοις φράσω.

ΠΑΦΛΑΓΩΝ

ἐγὼ μὲν οὖν αὐτίκα μάλ᾽ ἐς βουλὴν ἰὼν
ὑμῶν ἁπάντων τὰς ξυνωμοσίας ἐρῶ

---

457 *γενικώτατον ΘΔ* 458 ohne *σωτὴρ* R nach *Bekker* 459 *ὑπῆλθεν ΘΔ* *ὑπῆλθέν Γ* *τ᾽ ἐπῆλθες* R. *λόγοισιν, Πῶς Kock* 460 *ἡδόμεθα Δ* (*ἡδόμεθα ΔΘ* *ἡδήμεθα Θ* sagt *Dindorf* 1830) 462 *ἐπιστάμην Juntina* II 463 *γομφούμενά γε τὰ πάντα* vulgo *γομφούμενα τὰ πάντα* VΓΘΔ *γομφούμεν᾽ αὐτὰ* R 464 fehlt im *Δ*, steht nach 471 in *ΓΘ*, von *G. Hermann* nach 467 gesetzt. *ἀμαξουργοῦ Aldus* 465 *οὔκουν μ᾽ ἐν Ἄργει οἷα* codd. *ἐν Ἄργει μ᾽ οἷα* oder *μ᾽ ἐν Ἀργείοις ἃ Porson* *μ᾽ ἐν Ἄργει γ᾽ οἷα G. Hermann.* *πράττεις* (*Juntina* II) RV nach *Bekker*; 'ut videtur' *Dindorf* 466 *ποεῖ* RΘ *ποιεῖ Γ*

O Prachtstück du von einem Kerl, o Held vor allen Helden,
der dieser Stadt und ihrem Volk ein Retter bist erschienen,
wie schön und kunstreich bracht'st du ihn im Wortgefecht zu Falle!
O könnten wir so hoch, wie wir uns freuen, dich erheben!

KLEON.

Es war mir bei Demeter längst nicht unbekannt,
dafs so etwas im Werke; wohl hab' ich's gewufst,
wie ihr dies alles habt gezimmert und geleimt.

CHOR (nach einer kleinen Pause zum Wursthändler).

O weh! gehst du denn auf den Wagnerton nicht ein?

WURSTHÄNDLER.

Mir ist, was er in Argos will, nicht unbekannt;
scheinbar stimmt er uns freundlich das Argeiervolk,
doch mit Spartanern conspiriert er heimlich dort.
Auch weifs ich wohl, wozu er mit dem Blasebalg
jetzt also pustet; er schmiedet für die Gefang'nen was.

CHOR.

Vortrefflich! schmiede du, wenn er von Leimen spricht.

WURSTHÄNDLER.

Und andre wieder von drüben hämmern lustig mit;
(indem ihm Kleon den Mund zuhalten will) und nicht mit Gold und Silber
laſs von dir ich mich
bestechen, nicht beschwatzen soll dein Anhang mich,
den Athenern dieses nicht zu sagen; weit gefehlt!

KLEON.

Ins Rathhaus geh' ich augenblicklich und denuncier'
als niederträcht'ge Verschwörer sämtlich euch sofort,

---

467 *ξυγγίνεται* R nach *Bekker* 468 *συμφυσώμεθα* R nach *Bekker* 469 *ἐγὼ δ' Δ* 471 *ξυγχροτοῦσι* schol. *συγχροτοῦσιν* RΘ. *αὖθ' Bentley* 473 *προσπεσὼν* V (*γρ. Γ*) *προσπέμπτων Δ*

457 Eustath. 545 43 *καθὰ καὶ γεννικὸν κρέας παρὰ τῷ κωμικῷ.* 1426 58 *τὸ γεννικῶν ἑτεροῖόν ἐστι τῆς παρὰ τῷ κωμικῷ σημασίας, καθ' ἣν ἐκεῖνος γεννικὸν κρέας φησί* 463 Phaborin. 430 53 *γομφούμενα σφηνούμενα* 464 paroemiogr. gr. II 553 *οἶμοι σὺ δ' οὐδὲν ἐξ ἀμαξουργοῦ λέγεις;*

καὶ τὰς ξυνόδους τὰς νυκτερινὰς τὰς ἐπὶ πόλει
καὶ πάνθ᾽ ἃ Μήδοις καὶ βασιλεῖ ξυνόμνυτε
καὶ τἀκ Βοιωτῶν ταῦτα συντυρούμενα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

πῶς οὖν ὁ τυρὸς ἐν Βοιωτοῖς ὤνιος;

ΠΑΦΛΑΓΩΝ

ἐγώ σε νὴ τὸν Ἡρακλέα παραστορῶ.

ΧΟΡΟΣ

ἄγε δὴ σὺ τίνα νοῦν ἢ τίνα γνώμην ἔχεις;
νυνὶ διδάξεις εἴπερ ἀπεκρύψω τότε
ἐς τὰ κοχώνα τὸ κρέας, ὡς αὐτὸς λέγεις.
θεύσει γὰρ ἄξας ἐς τὸ βουλευτήριον,
ὡς οὗτος ἐσπεσὼν ἐκεῖσε διαβαλεῖ
ἡμᾶς ἅπαντας καὶ κραγὸν κεκράξεται.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἀλλ᾽ εἶμι· πρῶτον δ᾽ ὡς ἔχω τὰς κοιλίας
καὶ τὰς μαχαίρας ἐνθαδὶ καταθήσομαι.

ΟΙΚΕΤΗΣ Α

ἔχε νυν ἄλειψον τὸν τράχηλον τουτῳί,
ἵν᾽ ἐξολισθάνειν δύνῃ τὰς διαβολάς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἀλλ᾽ εὖ λέγεις καὶ παιδοτριβικῶς τανταγί.

ΟΙΚΕΤΗΣ Α

ἔχε νυν ἐπέγκαιψον λαβὼν ταδί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

τί δαί;

---

477 *τὰς ἐπὶ*] so *Meineke* ἐπὶ τῇ vulgo ἐν τῇ R *τὰς ἐν Cobet* 478 *ξυνώμνυτε* A *ξυνὼμνυτε* Θ 479 *ξυντυρούμενα* Θ 482 *ψυχὴν ἔχεις* vulgo *γνώμην* R 483 *νυνὶ δὲ δείξεις* C am Rande *νυνί γε δείξεις Cobet. ποτὲ* R nach *Bekker* 484 *τὰς κοχώνας* R *τὰ κοχώνα* V nach *Bamberg*, umgekehrt nach *Bekker* (vgl. 424). *λέγει* R nach *Bekker* 485 *αἴξας ΓΘΔ* 486 *ὥσθ᾽ Brunck.* ἐμπεσὼν vulgo εἰσπεσὼν R 487 *καὶ κραγὸν*] *καὶ κραγὼν Reiske κεκραγὸν* R *καὶ κράγον Meineke Ἀρίσταρχος ὀξυτόνως ἀντὶ τοῦ κραυγαστικῶς. καὶ Ἡρωδιανὸς ἐν ἀττικῇ προσῳδίᾳ* schol. 490 f. 493 *ἔχε ... ταδί.* 494 f. *... ταχέως.* 495 *μέμνησο* — 497 sagt in den codd. der

wie nächtlich gegen den Staat ihr euch zusammen thut,
was mit den Medern ihr und dem König abgemacht
und welchen Käse mit den Boiotern fabriciert.

WURSTHÄNDLER.

Was kostet im Boioterland der Käse jetzt?

KLEON.

Ich spann dich auf den Boden, Kerl, beim Herakles! (ab)

Sechste Scene. Die Vorigen ohne Kleon.

CHOR (zum Wursthändler).

Nun sprich: was denkst du jetzt zu thun? was ist dein Plan?
jetzt mufst du zeigen, ob du wirklich, wie du selbst
erzählst, das Fleisch am Hintern damals hast versteckt.
Mach schnell und lauf' ins Rathhaus, was du laufen kannst;
denn schamlos wird er, wenn er dort ist, sämtlich uns
verleumden und erhebt gewifs ein Mordgeschrei.

WURSTHÄNDLER.

Gleich geh' ich; lafst mich erst nur, wenn ich bitten darf,
die Gedärme hier ablegen und mein Handwerkszeug.

DEMOSTHENES (indem er ihm Wein reicht).

Hier, Freund! den Hals reib damit dir noch tüchtig ein,
dafs besser du allen Lügen dich entwinden kannst.

WURSTHÄNDLER.

Gar wohl bemerkt, und kunstverständig ist dein Rath (trinkt).

DEMOSTHENES (giebt ihm Knoblauch).

Und jetzt nimm das hier und verschluck' es.

WURSTHÄNDLER.

Wozu das?

Chor, der Sklave nach *Enger* 490 *τωδεῖ* B *τουτονὶ ωι Θ* 491 *ἐξολισθαίνειν* vulgo *ἐξολισθάνειν* RV 492 *ταῦτά γε* vulgo *ταυταγί* (*Brunck*) RV nach *Bekker* 493 *νῦν* R nach *Bekker*. *ἐπέγχαμψον* R

477 argum. 1 *ὡς συνομωμοκότας κατὰ τῆς πόλεως* 479 Suidas *συντυρούμενα* (*συντηρούμενα* A) *συμπηγνύμενα* 481 Pollux 9 154 *καὶ τὸ παρ' Ἀριστοφάνει ἐν ἱππεῦσιν ἐγώ σε νὴ τὸν Ἡρακλέα παραστορῶ.* Suidas *παραστορῶ ἐκτενῶ, ἀπὸ τῶν βυρσῶν. ἐγώ σε νὴ κτλ.* Phaborin. 1440 31 *παραστορῶ* 487 Hesych. *χραγὸν χραυγήν.* Phaborin. 1102 19 *χραγὸν κεχράξεται παρὰ τῷ Ἀριστοφάνει* (cf. Arkadios 47 4) 493 Phaborin. 686 9 *ἐπέγχαψον*

ΟΙΚΕΤΗΣ Α

ἵν᾽ ἄμεινον ὦ τᾶν ἐσκοροδισμένος μάχῃ.
καὶ σπεῦδε ταχέως.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ταῦτα δρῶ.

ΟΙΚΕΤΗΣ Α

᾽μέμνησό νυν
δάκνειν διαβάλλειν τοὺς λόφους κατεσθίειν
χὤπως τὰ κάλλαι᾽ ἀποφαγὼν ἥξεις πάλιν.

---

494 *᾽τάν Brunck τάν* RV nach *Bekker* 495 *μέμνησο νῦν* R nach *Bekker* 496 *καταβάλλειν* AΘΔ *διακαταβάλλειν* Γ *διακαταβάλλειν* B *διαβάλλειν* R (auch V nach *Bekker*). *ἀπεσθίειν* oder *παρεσθίειν Meineke*

494 schol. Acharn. 166 *ὡς καὶ ἐν ἱππεῦσί φησιν ἵν᾽ ἄμεινον ὦ τᾶν ἐσκοροδισμένος* (*ἐσκοροδισμένοις* R) *μάχῃ*. Suidas *ἐσκοροδισμένος*.

DEMOSTHENES.

Damit du, Freundchen, bessern Muths zum Kampfe gehst.
Nur keine Zeit verloren!

WURSTHÄNDLER.

Schön!

DEMOSTHENES.

Aus aller Kraft
beifs' und verleumd' ihn und zerfetz' ihm seinen Kamm,
und siehe dafs er bartlos auf dem Platze bleibt.

(Demosthenes ins Haus, Wursthändler dem Kleon nach.)

Phaborin. 766 21 *ἐσχοροδισμένος μάχῃ Ἀριστοφάνης* 497 Eustath. 1278 50 *καὶ κάλλαια παρὰ τῷ κωμικῷ οἱ πώγωνες τῶν ἀλεκτρυόνων.* Suidas *κάλλαια οἱ πώγωνες τῶν ἀλεκτρυόνων. χῶπως* (*οὐχ ὅπως* V Ox.) *τὰ κάλλαι'* (*κεφάλαι'* V Ox.) *ἀποφαγὼν ἤξεις πάλιν.* (*πάλιν ἤξεις πάλιν* V Ox.) Phaborin. 979 55 *κάλλαιοι οἱ τῶν ἀλεκτρυόνων πώγωνες*

ΧΟΡΟΣ

ΚΟΜΜΑΤΙΟΝ

ἀλλ᾽ ἴθι χαίρων καὶ πράξειας
κατὰ νοῦν τὸν ἐμὸν καί σε φυλάττοι
Ζεὺς ἀγοραῖος, καὶ νικήσας
αὖθις ἐκεῖθεν πάλιν ὡς ἡμᾶς
ἔλθοις στεφάνοις κατάπαστος.

ΠΑΡΑΒΑΣΙΣ

ὑμεῖς δ᾽ ἡμῖν πρόσχετε τὸν νοῦν τοῖς ἀναπαίστοις.

εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς

ἠνάγκαζεν λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι,
οὐκ ἂν φαύλως ἔτυχεν τούτου· νῦν δ᾽ ἄξιός ἐσθ᾽ ὁ ποιητής,

ὅτι τοὺς αὐτοὺς ἡμῖν μισεῖ τολμᾷ τε λέγειν τὰ δίκαια

καὶ γενναίως πρὸς τὸν τυφῶ χωρεῖ καὶ τὴν ἐριώλην.

---

503 f. ἡμῖν codd. ἡμῶν (*Brunck*) R von erster Hand nach *Bekker* ἡμὶν *Bothe.* προσέχετε codd. πρόσχετε *Bentley* νοῦν τοῖς ἀναπαίστοις vulgo νοῦν καὶ τοῖς ἀ. ΓΘΔ ν. καὶ τοῖς ἡμῶν ἀ. *G. Hermann* ὑμεῖς δὲ τέως πρόσχετε τὸν νοῦν τοῖς ἡμετέροις ἀ. *Hirschig* ὑ. δ᾽ ἡμῖν πρόσχετε τ. ν. χαίροντες τοῖς ἀ. *Meineke* nach 504 haben die codd. ὦ παντοίας ἤδη μούσης πειραθέντες καθ᾽ ἑαυτούς (Suidas v. παντοίας), von *G. Hermann* gestrichen (καθ᾽ ἑορτάς *Deventer*) von 507 bis 546 zählt das metrische schol. 41 (μβ΄ G) Tetrameter; die Worte ὦ παντοίας κτλ. sind oben zu 498 besonders gezählt 507 ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς fehlt im R. κωμωδιοδιδάσκαλος ΘΔ 508 ἠνάγκασεν R. λέξοντας ἔπη R ἔπη λέξοντας VΓΘΔ. πρὸς R ἐς VΓΘΔ γ᾽ ἐς *Aldus* 509 ἔτυχε R (nach *Bekker*) ΓΘΔ 511 γενναῖος *Zanetti* γενναῖον *Farreus.* χωρεῖν ΓΔ

Parabasis.

CHOR.

Glück zu auf den Weg! es gelinge dir wohl
nach meinem Begehr, und geleite dich Zeus
der Beschirmer des Markts, dann als Sieger zu uns
kehr wieder von dort ein Held, an der Stirn
umkrönt mit prangenden Kränzen.

(an die Zuschauer gewendet)

Ihr aber, wir bitten, verleiht uns Gehör und vernehmet des Chors
Anapaiste.
Kam sonst ein Komödienschreiber und hiefs zum Theater uns sprechen,
ein alter,
was ér über dieses und jenes gedacht, in muthiger Festparabase,
nicht leicht wohl geschah ihm der Wille sodann; doch diesmal ver-
dient es der Dichter,
denn er hasset von Herzen dieselben wie wir, und was Recht ist,
das sagt er mit Kühnheit,
Trotz bietet er mannhaft des Sturmes Gebrüll und der tobenden
Wuth des Orkanes.

---

498 ff. Suidas *κατάπαστος κατάμεστος ... πράξας* (*πράξιας* V) *Κατὰ νοῦν τὸν ἐμὸν πάλιν ὡς ἡμᾶς Ἥξεις στεφάνοις* (*ἡμᾶς στεφάνοις* V) *κατάπαστος* (*κατάπαυστος* V) 507 f. argum. Nub. 1 *Ἀριστοφάνης ἐν ἱππεῦσιν ἦν μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς Ἠνάγκαζεν λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι* 509 Suidas *φαύλως ... Ἀριστοφάνης οὐκ ἂν φαύλως ἔτυχεν* (*ἔτυχε* V) *τούτου* 511 Suidas *τυφώς. γενναίως πρὸς τὸν τυφῶ χωρεῖ καὶ τὴν ἐριώλην* (*εὐριώλην* A). — *ἐριώλη πνοὴ σφοδρά* (Zonaras I 866). Eustath. 918 18 *σφοδρὰ καὶ καταιγώδης ἐριώλη, ἧς μέμνηται καὶ ὁ κωμικός.* Phaborin. 750 28 *ἐριώλη*

ἃ δὲ θαυμάζειν ὑμῶν φησιν πολλοὺς αὐτῷ προσιόντας
καὶ βασανίζειν πῶς οὐχὶ πάλαι χορὸν αἰτοίη καθ' ἑαυτόν,
ἡμᾶς ὑμῖν ἐκέλευε φράσαι περὶ τούτου. φησὶ γὰρ ἀνὴρ
οὐχ ὑπ' ἀνοίας τοῦτο πεπονθὼς διατρίβειν, ἀλλὰ νομίζων
κωμῳδοδιδασκαλίαν εἶναι χαλεπώτατον ἔργον ἁπάντων·
πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν ὀλίγοις χαρίσασθαι·
ὑμᾶς τε πάλαι διαγιγνώσκων ἐπετείους τὴν φύσιν ὄντας
καὶ τοὺς προτέρους τῶν ποιητῶν ἅμα τῷ γήρᾳ προδιδόντας·
τοῦτο μὲν εἰδὼς ἄπαθε Μάγνης ἅμα ταῖς πολιαῖς κατιούσαις,
ὃς πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τροπαῖα·
πάσας δ' ὑμῖν φωνὰς ἰεὶς καὶ ψάλλων καὶ πτερυγίζων
καὶ λυδίζων καὶ ψηνίζων καὶ βαπτόμενος βατραχείοις
οὐκ ἐξήρκεσεν, ἀλλὰ τελευτῶν ἐπὶ γήρως — οὐ γὰρ ἐφ' ἥβης —

---

512 *φησὶ Δ.* *αὐτῷ* RV nach *Bekker* 513 *ὡς* vulgo *πῶς Bentley.* *οὐ πάλαι Θ* (*οὐχὶ π.* von zweiter Hand) *Δ* 514 *ἐκέλευσε* vulgo *ἐκέλευε* R. *φράζειν* V. *ἀνὴρ* vulgo *ὦ 'νὴρ Brunck* *ἂνὴρ Dindorf* 516 *κωμωδιοδιδασκαλίαν ΓΔ* 517 *δὴ*] *ἤδη ΓΘΔ.* *ὀλίγοις*] *ὀλίγοις πάνυ* R *ὀλίγοις ἤδη* V. *πολλῶν δ' αὐτὴν πειρασάντων ὀλίγοις πάνυ δὴ χ. Kock* 518 *ἡμᾶς Γ.* *διαγινώσκων* R nach *Bekker* 519 *γήραι Meineke* 520 *τοῦτο*] *ταῦτα Bentley* *πρῶτα Hirschig.* *ἃ 'παθεν Küster* 521 *τρόπαια* RV nach *Bekker* 522 *ὑμῖν*] *ἡμᾶς Γ.* *ἰεὶς* vor *Portus* *ἰεὶς* RV nach *Bekker* 524 f. *οὐκ ἐξήρκεσε πρεσβύτης ὤν, ὅτι G. Hermann* 524 wirft *Kock* aus

517 schol. Pindar. Pyth. 2 75 *χαρίζεσθαι γὰρ κυρίως τὸ συνουσιάζειν λέγεται, ὥσπερ ... καὶ Ἀριστοφάνης ἐν ἱππεῦσιν ἐκ μεταφορᾶς πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν ὀλίγοις χαρίσασθαι.* Priscianus 18 266 *Aristophanes ἱππεῦσι πολλῶν γὰρ δὴ* (*καρδε* M *γαρα* O) *πειρασάντων αὐτὴν*

Mit Staunen — so spricht er — ist mancher von euch schon zu ihm gekommen, zu fragen,
warum er nicht selber in eigner Person schon lange den Chor sich gefordert;
das sollen wir jetzt euch erklären, will er. Nicht Thorheit war's, was ihn also
im verborgenen hielt — das trug er uns auf —, vielmehr es bewog ihn die Meinung,
nicht geb' es ein schwieriger Ding auf der Welt als Komödien schreiben und spielen,
denn viele schon hätten's versuchet, und doch nur wenigen sei es gelungen;
und dann auch, dafs er veränderlich euch schon immer und launenhaft kannte,
wie die früheren Dichter im Alter noch stets ihr mifsachtet und treulos verlassen.
Da dacht' er zuerst, wie es Magnes erging, als grau sich der Scheitel ihm färbte,
der die Gegner doch früher mit Chören so oft aufs beste zu schlagen verstanden;
zu ergötzen wohl wufst' er mit allerlei Klang, mit der Laute, mit Vögelgezwitscher,
mit Lydergesang, Gallwespengesumm, laubfroschgrünschimmerndem Anstrich;
doch gefiel er zuletzt euch nicht mehr, er ward (ein Greis, nicht da er ein Jüngling),

---

(*αυτεν* M) *ὀλίγοις* (*ολλγοις* R *ομγοις* V) *χαρίσασθαι* (*χαρισασεαι* M). Suidas *πειρῶν ... καὶ πειρασάντων ἀνδρῶν, διαπειρασάντων κτλ. — χαρίσασθαι ἀντὶ τοῦ κατορθῶσαι. ὀλίγοις χαρίσασθαι παρὰ Ἀριστοφάνει ἐν Ἱππεῦσι* 521 ff. Suidas *Μάγνης ... οὗτος ἀρχαίας κωμῳδίας ποιητής. ὃς πλεῖστα χορῶν κατὰ τῶν ἀντιπάλων νίκης ἔστησε τρόπαια· Πάσας φωνὰς ἰείς καὶ ψάλλων καὶ πτερυγίζων Καὶ λυδίζων καὶ ψηνίζων καὶ βαπτόμενος βατραχείοις Οὐκ ἐξήρχεσεν, ἀλλὰ τελευτῶν ἐπὶ γήρως, οὐ γὰρ ἐφ' ἥβης, Ἐξεβλήθη πρεσβύτης ὢν (δὲ ὢν* Med.), *ὅτε τοῦ σκώπτειν ἀπελείφθη* 522 Suidas *ἰείς ἀφιείς. πάσας δ' ὑμῖν φωνὰς ἰείς Ἀριστοφάνης φησίν. — πτερυγίζων πετόμενος Ἀριστοφάνης περὶ Μάγνητος* 523 Phaborin. 1195 10 *λυδίζων.* Suidas *βατράχειον* (Zonaras I 376 Phaborin. 357 33) 524 Suidas *οὐκ ἐξήρχεσεν οὐκ ἀντέσχε πρὸς τοὺς τρόπους ὑμῶν*

ἐξεβλήθη, πρεσβύτης ὢν ὅτι τοῦ σκώπτειν ἀπελείφθη.
εἶτα Κρατίνου μεμνημένος, ὃς πολλῷ ῥεύσας ποτ᾽ ἐπαίνῳ
διὰ τῶν ἀφελῶν πεδίων ἔρρει καὶ τῆς στάσεως παρασύρων
ἐφόρει τὰς δρῦς καὶ τὰς πλατάνους καὶ τοὺς ἐχθροὺς προθελύμνους·
ἅσαι δ᾽ οὐκ ἦν ἐν ξυμποσίῳ πλὴν Δωροῖ συκοπέδιλε
καὶ τέκτονες εὐπαλάμων ὕμνων, οὕτως ἤνθησεν ἐκεῖνος.
νυνὶ δ᾽ ὑμεῖς αὐτὸν ὁρῶντες παραληροῦντ᾽ οὐκ ἐλεεῖτε
ἐκπιπτουσῶν τῶν ἠλέκτρων καὶ τοῦ τόνου οὐκέτ᾽ ἐνόντος
τῶν θ᾽ ἁρμονιῶν διαχασκουσῶν, ἀλλὰ γέρων ὢν περιέρρει

---

525 ἐξεβλήθη πρεσβύτης ὢν, ὅτι vor *Enger* 526 f. ῥεύσας] ῥέψας *Fritzsche* πρέψας *Kock* βρίσας *Kayser* ὃς πολλῷ πολλῶν ἐπ᾽ ἐπαίνῳ oder πολλῷ ᾽φ᾽ ὑμῶν πότ᾽ (πότ᾽ *Dindorf* 1821 τότ᾽ Θ) ἐπαίνῳ *G. Hermann* ῥεύματι πολλῷ ποτ᾽ ἀείνως *Meineke* ὡς πολλῷ βρίσας ποτ᾽ ἐπαίνῳ διὰ τῶν φελλέων πεδίονδ᾽ ἔρρει *Bergk* 527 ἔνιοι δὲ διὰ τῶν ἀφύων γράφουσι schol. παιδίων ΘΔ 529 ἦν] ἐνῆν R nach *Bekker*. συμποσίοι R. δοροῖ R nach *Bekker* 530 ἤνθησ᾽ ΓΘΔ 531 νῦν R. παρακρούοντ᾽ *Schütz* 532 οὐκ ἐόντος R 533 γέρων] γὰρ γέρων ΓΘΔ γέρων γὰρ *Juntina* I. γρ. παρέρρει Θ

526 ff. Suidas ἀφέλεια ... καὶ ἀφελῶν πεδίων. Ἀριστοφάνης περὶ Κρατίνου ὃς πολλῷ ῥεύσας ποτ᾽ ἐπαίνῳ (ῥεύσας ἐπαίνῳ ABCVE Med. ἐπαίρω *V) Διὰ τῶν ἀφελῶν πεδίων ἔρρει καὶ τῆς στάσεως παρασύρων Ἐφόρει τὰς δρῦς καὶ τὰς πλατάνους καὶ τοὺς ἐχθροὺς προθελύμνους· Ἅισαι δ᾽ οὐκ ἦν ἐν ξυμποσίῳ (συμποσίοις ABE Med.) πλὴν Δωροῖ (δορυ A δόρου E von zweiter Hand) συκοπέδιλε Καὶ τέκτονες εὐπαλάμων ὕμνων, οὕτως ἤνθησεν ἐκεῖνος. Νυνὶ δ᾽ ὑμεῖς (νῦν δ᾽ ἡμεῖς E Med.) αὐτὸν ὁρῶντες παραληροῦντ᾽ (παραληροῦντε τ᾽ Med.) οὐκ ἐλεεῖτε Ἐκπιπτουσῶν τῶν ἠλέκτρων καὶ τοῦ τόνου (καὶ τούτου AB καὶ τούτ᾽ Med.) οὐκέτ᾽ ἐνόντος (οὐκέτ᾽ ὄντος ABE Med.) Τῶν θ᾽ ἁρμονιῶν διαχασκουσῶν, ἀλλὰ γέρων ὢν περιέρρει Ὥσπερ Κοννᾶς στέφανον μὲν ἔχων αὖον, δίψῃ (ἔχων, δίψῃ ABE Med.) δ᾽ ἀπολωλώς· (ἀπολωλός A) Ὃν χρῆν διὰ τὰς προτέρας νίκας πίνειν ἐν τῷ πρυτανείῳ.

weil im Spotten der Meister dem Alten sich fand, vom Theater gar schimpflich verbannet.
Und weiter gedacht' er des wackern Kratin, wie er einst weit strahlendes Ruhmes
einherfuhr über das flache Gefild ein gewaltiger Strom und entwurzelnd
mitführte Platanen und Eichen mit Macht und zu Boden geschmetterte Feinde;
bei Gelagen vernahm man nichts anderes mehr, als 'Bestechung mit Feigensandalen'
und 'Bildner des Sanges voll edelster Kunst', so hoch stand jener in Blüthe.
Doch nun, da ihr seht, dafs zum Aberwitz ward sein Witz, wo fühltet ihr Mitleid,
da der Schmuck ihm dahin und der mächtige Klang aufhört von der Leier zu strömen
und die Saiten verstimmt und die Fugen gesprengt? so irrt er als Greis nun verlassen,

---

Moschopul. *περὶ σχεδῶν* p. 31 *δοτικῇ δὲ συνταττομένη δηλοῖ σχέσιν ἔν τινι, ὡς παρ' Ἀριστοφάνει ὃς ἐπὶ πολλῷ ῥεύσας ποτ' ἐπαίνῳ* 527 f. Etymol. M. 176 18 *Ἀριστοφάνης ἱππεῦσι διὰ τῶν ἀφελῶν πεδίων* (*παιδῶν* V) *ἔρρει καὶ τῆς στάσεως παρέσυρεν* (*παρασύρας* vor *Gaisford*). Bekker anecd. gr. I 469 31 (Bachmann I 170) *ἀφελὲς τὸ ὑγιὲς καὶ ὁλόκληρον ... Ἀριστοφάνης ἱππεῦσι διὰ τῶν ἀφελῶν πεδίων ἔρρει καὶ τῆς στάσεως παρέσυρεν.* Suidas *στάσεις τὰ ἀναχώματα τῶν ποταμῶν. καὶ τῆς στάσεως παρασύρων Ἐφόρει τὰς* (*παρασύρων τὰς* E) *δρῦς καὶ τὰς πλατάνους προθελύμνους.* cf. Zonaras I 352 Phaborin. 329 17 *ἀφέλεος τόπος* 528 Phaborin. 1564 47 *προθελύμνους* 529 Hesych. *Δωροῖ* (*δῶροι* cod.) *συκοπέδιλε. παρῳδεῖται* (fort. *πεπαρῴδηται' Meineke*) *τοῦτο ἐκ τῶν ἀρχαίων ποιημάτων* 530 Suidas *εὐπαλάμων ὕμνων ... τέκτονες εὐπαλάμων ὕμνων.* Zonaras I 901 Phaborin. 794 46 531 Phaborin. 1436 15 *παραληροῦντα ... λέγει Ἀριστοφάνης τὸν Κρατῖνον* 532 Suidas *ἤλεκτρα ... Ἀριστοφάνης ἐκπιπτουσῶν τῶν ἠλέκτρων καὶ τοῦ τόνου οὐκέτ' ὄντος.* Eustath. 1483 30 *ἃ καὶ ἠλυκῶς προάγονται, ὡς δηλοῖ τὸ ἐκπιπτουσῶν τῶν ἠλέκτρων.* Phaborin. 1765 2 *καὶ Ἀριστοφάνης τοῦ τόνου οὐκέτ' ἐνόντος* 533 Suidas *ἁρμονίαι ... τῶν ἁρμονιῶν διαχασκουσῶν. τροπικῶς δὲ τὰ ποιήματα. Ἀριστοφάνης.* Phaborin. 498 3 *διαχασκουσῶν ἁρμονιῶν ... παρὰ τῷ Ἀριστοφάνει*

ὥσπερ Κοννᾶς στέφανον μὲν ἔχων αὖον, δίψῃ δ' ἀπολωλώς·
ὃν χρῆν διὰ τὰς προτέρας νίκας πίνειν ἐν τῷ πρυτανείῳ
καὶ μὴ ληρεῖν, ἀλλὰ θεᾶσθαι λιπαρὸν παρὰ τῷ Διονύσῳ.
οἵας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο καὶ στυφελιγμούς,
ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπέπεμπεν
ἀπὸ κραμβοτάτου στόματος μάττων ἀστειοτάτας ἐπινοίας·
χοὗτος μέντοι μόνος ἀντήρκει τοτὲ μὲν πίπτων, τοτὲ δ' οὐχί.
ταῦτ' ὀρρωδῶν διέτριβεν ἀεὶ καὶ πρὸς τούτοισιν ἔφασκεν
ἐρέτην χρῆναι πρῶτα γενέσθαι πρὶν πηδαλίοις ἐπιχειρεῖν
κἄτ' ἐντεῦθεν πρωρατεῦσαι καὶ τοὺς ἀνέμους διαθρῆσαι
κἄτα κυβερνᾶν αὐτὸν ἑαυτῷ. τούτων οὖν οὕνεκα πάντων,
ὅτι σωφρονικῶς κοὐκ ἀνοήτως ἐσπηδήσας ἐφλυάρει,

---

534 *κοννὰς* R *Κόννας Brunck.* *δίψει* V nach *Bekker* *δίψῃ* ΘΔ 535 *χρὴ* RΓΘ 536 *καὶ μὰκληρεῖν Meineke.* *λιπαρὸν θεᾶσθαι ΓΘΔ.* *Διονύσου Elmsley* 537 *στυφελισμούς* vulgo *στυφελιγμούς* R 538 *μικρᾶς ΘΔ.* *ἔπεμπεν ΘΔ* 539 *κραμβοφάγου Kiehl* 540 *ποτὲ* P 542 *πρῶτον* RVΓΘΔ. nach diesem Verse nimmt *Porson* eine Lücke an, 'cuius sensus fuerit *κἄτα τοιχαρχεῖν*' 543 *κἀντεῦθεν ΘΔ.* *πρωρατεῦσαι* vulgo (RV nach *Bekker*) *πρωρατεῦσαι Dindorf* 544 *τούτων οὕνεκα* V nach *Bekker* *τούτων οὖνεκα Aldus* *τούτων γοῦν οὕνεκα Küster.* *ἕνεκα* R *εἵνεκα Δ* *εἵνεκα Γ* 545 *σωφρονικὸς Brunck.* *ἐσηδήσας* R nach *Bekker.* *ἐφλυάρει*] ε punctis notatum in *Δ' Dindorf*

534 Suidas *Κοννᾶς μέθυσος αὐλητής. καὶ παροιμία Κοννᾶς στέφανον μὲν ἔχων, δίψῃ δ' ἀπολωλώς* (cf. Hesych. *Κοννίς.* Eudokia p. 262 Phaborin. 1089 3) 537 f. Suidas *στυφελισμοὺς ὀργὰς ὕβρεις μέμψεις λοι-*

gleich Konnas bewahrend den trockenen Kranz, doch verschmachtend mit durstiger Zunge;
der ob früherer Siege doch wahrlich verdient hochpreislich im Rathhaus zu zechen
und nimmer zu faseln, ansehnlich vielmehr ein Geselle des Bakchos zu thronen.
Und Krates, was hat er für Launen von euch zu erdulden gehabt und für Tritte,
der mit mäfsigen Kosten ganz tüchtig verstand euch bewirthet von hier zu entsenden
gar spafshafte Sachen nach Hausmannsgeschmack zurüstend für eueren Gaumen;
doch hat ér sich allein noch gehalten, manchmal durchfallend und manchmal gefallend.
Dies alles hat immer in Angst ihn versetzt, und dazu noch erfüllt ihn die Meinung,
erst müsse man gründlich das Rudern versteh'n, eh' am Steuer zu sitzen man tauge,
dann Untersteuermann werden gemach und die Winde studieren mit Eifer,
und zuletzt erst komme des Steuermanns Kunst. Aus all den Gründen nun also,
weil mit Sinn und Verstand er die Sachen betreibt und nicht albern ins Haus mit der Thür fällt,

---

δυρίας. οἵας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο καὶ στυφελισμούς, Ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς (ἡμᾶς AB Med.) *ἀριστίζων ἀπέπεμπεν. Ἀριστοφάνης ἱππεῦσι (στυφελισμούς. Ἀριστοφάνης ἱππεῦσι. ὃς ἀπὸ κτλ.* AE*V). Phaborin. 1693 26 *στυφελισμούς ... Ἀριστοφάνης* 539 Hesych. *χραμβότατον καπυρώτατον.* Phaborin. 1103 20 *χραμβοτάτου στόματος.* 1217 22 *μάττων παρὰ τῷ Ἀριστοφάνει ἀντὶ τοῦ σκεπτόμενος κτλ.* 542 ff. Appianos 1 94 *ὁ Σύλλας ἐπιγελάσαι λέγεται τῇ νεότητι τοῦ ὑπάτου καὶ εἰπεῖν ἐρέτην δεῖ πρῶτα γενέσθαι πρὶν πηδαλίοις ἐπιχειρεῖν.* Themistios 8 113 D *ἐρέτην δὲ ἔφη δεῖν ἡ κωμῳδία πρῶτα γενέσθαι πρὶν πηδαλίοις ἐπιχειρεῖν.* Suidas *πηδαλιουχεῖν κυβερνᾶν. Ἀριστοφάνης ἐρέτην χρὴ πρῶτα γενέσθαι πρὶν πηδαλίοις ἐπιχειρεῖν Κἀντεῦθεν πρωρατεῦσαι καὶ τοὺς ἀνέμους διαθρῆσαι Κἆτα κυβερνᾶν αὐτὸν ἑαυτῷ (αὐτῷ* Med.) 545 Suidas *σωφρονικῶς*

αἴρεσθ᾽ αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ᾽ ἐφ᾽ ἕνδεκα κώπαις

μακρόν

θόρυβον χρηστὸν ληναΐτην,
ἵν᾽ ὁ ποιητὴς ἀπίῃ χαίρων
κατὰ νοῦν πράξας
φαιδρὸς λάμποντι μετώπῳ.

στροφή

ἵππ᾽ ἄναξ Πόσειδον, ᾧ
χαλκοκρότων ἵππων κτύπος
καὶ χρεμετισμὸς ἀνδάνει
καὶ κυανέμβολοι θοαὶ
μισθοφόροι τριήρεις
μειρακίων θ᾽ ἅμιλλα λαμ-
πρυνομένων ἐν ἅρμασιν
καὶ βαρυδαιμονούντων,
δεῦρ᾽ ἔλθ᾽ ἐς χορὸν ὦ χρυσοτρίαιν᾽ ὦ
δελφίνων μεδέων σουνιάρατε,
ὦ γεραίστιε παῖ Κρόνου
Φορμίωνί τε φίλτατ᾽ ἐκ
τῶν ἄλλων τε θεῶν Ἀθη-
ναίοις πρὸς τὸ παρεστός.

ἐπίρρημα

εὐλογῆσαι βουλόμεσθα τοὺς πατέρας ἡμῶν, ὅτι
ἄνδρες ἦσαν τῆσδε τῆς γῆς ἄξιοι καὶ τοῦ πέπλου,

---

546 *παραπέμψαντ᾽* Γ *παραπέμψαντες ΘΔ παραπέμψατ᾽ ἐς ἐφ᾽ Juntina* I. *παραπέμψατέ θ᾽ ἕνδεκα* oder *παραπέμψατέ τ᾽ ἐννέα Meineke* 547 *λιναΐτην* R nach *Bekker* 550 *φαιδρῶς* Γ. *προσώπῳ* V nach *Bekker* 552 *ὁπλῶν κτύπος Bentley* 553 *ἀνδάνει* vor *Küster ἀνδάνει* RV nach *Bekker* 555 *μισοφόροι Ad. von Velsen* 559 *χῶρον ΓΘ χωρόν Δ. χρυσοτρίαινα* schol. 560 *σουνιάρατε* R nach *Bekker* 564 *πρὸς τὸ*] *πρόσθε Reiske. παρεστώς* vulgo *παρεστός* R 565 *βουλόμεθα ΓΘΔ* schol. 566 ohne *τῆς* R (nach *Bekker*) *Δ*

546 schol. 507 *ὧν τελευταῖος αἴρεσθ᾽ αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ᾽ ἐφ᾽ ἕνδεκα κώπαις.* Harpokration *ῥόθιον ... παρὰ πολλοῖς καὶ παρ᾽ Ἀριστοφάνει ἐν ἱππεῦσι.* Eustath. 1540 45 *καὶ ἔστι τοιοῦτον παρὰ Ἀριστοφάνει τὸ αἴρεσθ᾽ αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ᾽ ἐφ᾽ ἕνδεκα κώπαις.* Suidas *ἀποπέμψατ᾽ ἐφ᾽ ἕνδεκα κώπαις ... Ἀριστοφάνης*

hoch lasset des Beifalls Wogen ihm geh'n und erhebet mit elffachem Schlage
des lenaischen Festes willkommenen Lärm,
dafs der Dichter hübsch fröhlich das Haus uns verläfst,
weil es heut ihm gelang,
hell strahlend mit leuchtendem Antlitz!

Herscher Poseidon, Rossefreund,
welchen des Hufes eherner
Tritt und des Wieherns Ton ergötzt,
flücht'ger Trieren dunkler Kiel,
Schaaren der Krieger tragend,
prangender junger Herren Wettkampf in der Rennbahn Lustrevier,
welche des Daimons Opfer;
komm zum Chore, den Golddreizack in Händen,
Herr von Sunions Höh'n, Fürst der Delphine,
o geraistischer Kronos-Sohn,
hoch in Ehren bei Phormion
und vor anderen Göttern viel
theuer jetzt den Athenern!

Preisen lafst die Väter uns aufs höchste, weil sie immer sich nur als Männer zeigten, dieser Heimath und des Peplos werth,

---

φησίν. — ἐφ' ἕνδεκα κώπαις κέλευσμά ἐστι ναυτικὸν οὕτω λεγόμενον. αἴρεσθ' αὐτῶν πολὺ τὸ ῥόθιον. — ῥόθιον ... καὶ αὖθις αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον. Phaborin. 643 29 *ἕνδεκα κώπαις* 547 Phaborin. 1176 13 *ληναΐτης* (Pollux 8 133 *πυκνί, ἀφ' ἧς τὸν τοῦ δήμου θόρυβον πυκνίτην φασὶν οἱ κωμικοί* scheint eine Vermischung dieser Stelle mit V. 42) 552 Suidas *χαλκοκρότων* 553 Suidas *ἀνδάνει ἀρέσκει μέλει. ἵππων χρεμετισμὸς ἀνδάνει* 554 f. Suidas *κυανέμβολοι.* Phaborin. 1119 42 *κυανέμβολοι τριήρεις* 555 Suidas *μισθοφόρος ... καὶ μισθοφόροι τριήρεις.* Phaborin. 1264 55 556 Suidas *λαμπρυνομένων* 559 Phaborin. 1879 6 *χρυσοτρίαινα περιφρασικῶς τῆς θαλάττης βασιλεῦ* 560 schol. Av. 869 *καὶ ἐν ἵπποις ὦ δελφίνων μελέων σουνιάρατε.* Eustath. 1467 44 *ὃν διθυραμβικῶς παίζων ὁ κωμικὸς καλεῖ σουνιάρατον.* Phaborin. 1668 51 *σουνιάρατε* 565 Phaborin. 791 37 *εὐλογῆσαι ἐπαινέσαι ... Ἀριστοφάνης εὐλογῆσαι βουλόμεσθα τοὺς πατέρας*

οἵτινες πεζαῖς μάχαισιν ἔν τε ναυφράκτῳ στρατῷ
πανταχοῦ νικῶντες ἀεὶ τήνδ᾽ ἐκόσμησαν πόλιν.
οὐ γὰρ οὐδεὶς πώποτ᾽ αὐτῶν τοὺς ἐναντίους ἰδὼν
ἠρίθμησεν, ἀλλ᾽ ὁ θυμὸς εὐθὺς ἦν ἀμυνίας·
εἰ δέ που πέσοιεν ἐς τὸν ὦμον ἐν μάχῃ τινί,
τοῦτ᾽ ἀπεψήσαντ᾽ ἄν, εἶτ᾽ ἠρνοῦντο μὴ πεπτωκέναι,
ἀλλὰ διεπάλαιον αὖθις. καὶ στρατηγὸς οὐδ᾽ ἂν εἷς
τῶν πρὸ τοῦ σίτησιν ᾔτησ᾽ ἐρόμενος Κλεαίνετον·
νῦν δ᾽ ἐὰν μὴ προεδρίαν φέρωσι καὶ τὰ σιτία,
οὐ μαχεῖσθαί φασιν. ἡμεῖς δ᾽ ἀξιοῦμεν τῇ πόλει
προῖκα γενναίως ἀμύνειν καὶ θεοῖς ἐγχωρίοις.
καὶ πρὸς οὐκ αἰτοῦμεν οὐδὲν πλὴν τοσουτονὶ μόνον·
ἤν ποτ᾽ εἰρήνη γένηται καὶ πόνων παυσώμεθα,
μὴ φθονεῖθ᾽ ἡμῖν κομῶσι μηδ᾽ ἀπεστιλεγγισμένοις.

ἀντίστροφος

ὦ πολιοῦχε Παλλὰς ὦ
τῆς ἱερωτάτης ἁπα-
σῶν πολέμῳ τε καὶ ποιη-
ταῖς δυνάμει θ᾽ ὑπερφερού-
σης μεδέουσα χώρας,
δεῦρ᾽ ἀφικοῦ λαβοῦσα τὴν
ἐν στρατιαῖς τε καὶ μάχαις
ἡμετέραν ξυνεργὸν
Νίκην, ἣ χορικῶν ἐστιν ἑταίρα
τοῖς τ᾽ ἐχθροῖσι μεθ᾽ ἡμῶν στασιάζει.

---

567 *ναυφάρκτῳ Dindorf* 568 *ἀεὶ* R (nach *Bekker*) *ΓΘΔ αἰεὶ* V nach *Bekker* 569 *κοὐδεὶς οὐδεπώποτ'* vulgo *κοὔτις Bentley οὐδεὶς γὰρ πώποτ'* VΓΘΔ *οὐ γὰρ οὐδεὶς πώποτ'* R 570 *ἠρέμησεν* oder *ἠθύμησεν Reiske. Ἀμυνίας Bergler* 571 *πέσειεν Γ. ὠμὸν Dindorf* 1825 572 *τοῦτ'* R *ταῦτ'* vulgo *χάρτ' Bentley. μὴ*] *μὴ οὐ Brunck* 574 *σίτισιν ΘΔ. ἤτησεν* V (*ἤτησ'* nach *Bekker*) *ΓΘΔ* 575 *προσεδρίαν ΘΔ* 576 *μαχεῖσθαι φασίν Dindorf* 578 *μόνως Juntina* II 580 *φθονεῖσθ'* R. *κομῶσιν* R. *ἀπεστεγγισμένοις* R 582 *ἱερωτάτης, ἁπασῶν Dindorf* 583 *πολίταις Bentley* 586 *ἀφίκου* RV nach *Bekker* 589 *χορειῶν Reiske. ἑταίρα*] *ἑτέρα* R nach *Bekker* 590 *ἐχθροῖς ΘΔ*

567 Suidas *ναυφράκτῳ στρατῷ* 569 f. Suidas *ἠρίθμησεν ... τοὺς ἐναντίους ἰδὼν οὐκ ἠρίθμησεν (ἠρέμησεν* A*), ἀλλ' εὐθὺς ἦν ἀμυνίας.* Zonaras I 1006 *ἠρίθμησεν ἀπεδειλίασε. τοὺς ἐναντίους ἰδὼν οὐκ ἠρίθμησε, ἀλλ' εὐθὺς ἦν ἀμυνίας* 570 Eustath. 804 23 *ἔτι δὲ καὶ*

überall in Land- und Seegefechten sich des Sieges Kranz
stets errangen und mit frischem Lorbeer schmückten diese Stadt.
Denn von ihnen zählte keiner je die Feinde, die er sah;
immer drauf! das war Parole, wehr dich! hiefs das Feldgeschrei;
und wenn je in einem Treffen sie ein wenig strauchelten,
schüttelten sie es ab und wollten nichts mehr wissen von dem Fall,
sondern kämpften rüstig weiter. Und die Feldherrn jener Zeit,
nie um Speisung hätten sie gebettelt bei Kleainetos;
jetzt — bekommt man nicht frei Essen und den Vorsitz überall,
droht man nicht zu kämpfen. Doch wir wollen, dafs man ohne Lohn
für die Stadt und ihre Götter brav zu fechten sei bereit.
Und dazu verlangen wir für uns nichts andres, als allein
dafs ihr, wenn der Krieg vorbei und wir von unsrer Arbeit ruh'n,
uns den Haarwuchs nicht verübelt und ein bischen Eleganz.

Schützerin Pallas, unsres hoch-
heiligen Landes Königin,
welches der Dichter Ruhm und Kriegs-
thaten und Macht erheben weit
über die Länder alle;
nah' dich, o komm mit unserer
Gönnerin Nike auf den Feld-
zügen und in den Schlachten,
die der festlichen Chorlieder sich freuet
und den Feinden mit uns stehet genüber.

ὁ ἀμυνίας θυμὸς παρὰ τῷ κωμικῷ. Suidas ἀμυνίας ... ὁ ἕτοιμος ἀμύνεσθαι. Hesych. Phaborin. 147 57 ἀμυνίας ὁ ἀμυντικός 571 f. Suidas ἀπεψησάμην ... καὶ ἀπέψησαν ἀπετίναξαν. εἰ δέ που πέσοιεν εἰς τὸν ὦμον ἐν μάχῃ τινί, Τοῦτ' ἀπεψήσαντ' ἄν. — ψευδόπτωμα. Ἀριστοφάνης εἰ δέ που πέσοιεν εἰς τὸν ὦμον ἐν μάχῃ τινί, Τοῦτ' ἀπεψήσαντ' ἄν 575 Suidas προεδρία ... Ἀριστοφάνης νῦν δ' ἂν μὴ προεδρίαν φέρωσι (ἀποφέρωσι AE*V) καὶ τὰ σιτία (Phaborin. 1563 29) 580 schol. Nub. 14 κἀν τοῖς ἱππεῦσι μὴ φθονεῖθ' (φθονεῖτε Θ φθονῆτ' Aldus) ἡμῖν κομῶσι μηδ' ἀπεστλεγγισμένοις. 120 καὶ ἐν ἱππεῦσί φησι μὴ φθονεῖθ' (φθονεῖτε V) ὑμῖν κομῶσι κτλ. Bekker anecd. gr. I 423 3 (Bachmann I 119) ἀπεστλεγγισμένον ἀπεξυσμένον. οὕτως Ἀριστοφάνης. Suidas διακεκναισμένη ... καὶ ἐν ἱππεῦσι μὴ φθονεῖθ' (φθονεῖται *V) ἡμῖν κομῶσι κτλ. — κομᾷ ... μὴ φθονεῖθ' (φθονεῖσθ' ABE Med.) ἡμῖν (ὑμῖν AE Med.) κομῶσιν

νῦν οὖν δεῦρο φάνηθι, δεῖ
γὰρ τοῖς ἀνδράσι τοῖσδε πά-
σῃ τέχνῃ πορίσαι σε νί-
κην εἴπερ ποτὲ καὶ νῦν.

ἀντεπίρρημα

ἃ ξύνισμεν τοῖσιν ἵπποις, βουλόμεσθ᾽ ἐπαινέσαι.
ἄξιοι δ᾽ εἶσ᾽ εὐλογεῖσθαι· πολλὰ γὰρ δὴ πράγματα
ξυνδιήνεγκαν μεθ᾽ ἡμῶν, ἐσβολάς τε καὶ μάχας.
ἀλλὰ τἀν τῇ γῇ μὲν αὐτῶν οὐκ ἄγαν θαυμάζομεν
ὡς ὅτ᾽ ἐς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς
πριάμενοι κώθωνας, οἳ δὲ καὶ σκόροδα καὶ κρόμμυα·
εἶτα τὰς κώπας λαβόντες ὥσπερ ἡμεῖς οἱ βροτοὶ
ἐμβαλόντες ἀνεβρύαξαν ‘ἱππαπαῖ τίς ἐμβαλεῖ;
ληπτέον μᾶλλον, τί δρῶμεν; οὐκ ἐλᾷς ὦ σαμφόρα;’
ἐξεπήδων τ᾽ ἐς Κόρινθον, εἶτα δ᾽ οἱ νεώτατοι
ταῖς ὁπλαῖς ὤρυττον εὐνὰς καὶ μετῆσαν στρώματα,
ἤσθιον δὲ τοὺς παγούρους ἀντὶ ποίας μηδικῆς,
εἴ τις ἐξέρποι θύραζε, κἀκ βυθοῦ θηρώμενοι
ὥστ᾽ ἔφη Θέωρος εἰπεῖν καρκίνον κορίνθιον·
‘δεινά γ᾽ ὦ Πόσειδον εἰ μηδ᾽ ἐν βυθῷ δυνήσομαι
μήτε γῇ μήτ᾽ ἐν θαλάττῃ διαφυγεῖν τοὺς ἱππέας.’

---

594 *τότε Δ* 595 *τοῖς ἵπποις ΘΔ. βουλόμεθ᾽* R (nach *Bekker*) *ΘΔ* 596 *πολλὰ δὴ Juntina* II 597 *εἰσβουλάς* R 599 *γρ. ἐπαγωγοὺς* V nach *Bekker* 600 *δὲ καὶ*] *δὲ* RVΓΘΔ *δὲ σκόροδ᾽ ἑλάας κρόμμυα Bergk* 602 *ἀνεφρύαξαν Herwerden. ἱππάπαὶ* vor *Dindorf* (RV nach *Bekker*) 603 *σαμφόρα ΓΘ σαμφότερα Δ* 604 *τε εἰς ΘΔ. εἰτά γ᾽* vulgo *εἶτα δ᾽* R. *νεώτεροι* vulgo *νεώτατοι* R 605 *ὤρυσσον Γ* (*γρ. ὤρυττον*) *ΘΔ. μετῆσαν Aldus μετῆσαν* RVA. *βρώματα* R 606 *πόας* schol. *μηδίκης Suping* 607 *ἐξέρπει ΘΔ* 608 *ἔφθη Aldus ἔφη* RVAΘΔ. *Καρκίνον Dübner* 609 *δυνά γ᾽ ΘΔ. μήτ᾽* vor *Brunck* 610 *μήτε*] *μήτ᾽ ἐν* vor *Bentley. θαλάσσῃ* R

596 f. Suidas *διενέγκαντες ... ὑπερενέγκαντες. πολλὰ γὰρ δὴ πράγματα διήνεγκαν μεθ᾽ ἡμῶν, εἰσβολάς τε καὶ μάχας.*—*ξυνδιήνεγκαν*

Komm o Göttin, erscheine jetzt!
gilt's mit jeglicher Kunst doch heut
uns den Männern des Ritterstands
Sieg zu schaffen, wenn jemals.

Unsrer Rosse Thaten lafst uns rühmend jetzt verkündigen.
Wohl sind sie des Lobes würdig, denn auf vielen Fahrten schon
haben sie uns treu begleitet so zum Einfall wie zur Schlacht.
Doch was auf dem Lande sie vollbrachten, ist so rühmlich nicht,
wie dafs einmal sie den Schiffen sich vertrauten hochgemuth
wohl versorgt mit Trinkgefäfsen, Zwiebeln, Knoblauch und so fort;
wie sie dann die Ruder fafsten uns den Menschenkindern gleich
und ins Meer sie tauchten wiehernd ‘huynhynm zieht tüchtig, zieht!
mehr euch angestrengt, das hilft nicht! Wallach, was bist du so faul?’
An Korinthos’ Küste sprangen dann sie, und die jüngsten frisch
gruben Lagerstätten mit den Hufen, schafften Streu herbei
und begnügten sich mit Krabben statt des Klees aus Medien,
wenn ans Licht sich eine wagte, holten selbst sie auch heraus,
dafs ein Krebs — so sagt Theoros — von Korinth voll Kummer sprach:
‘wie entsetzlich o Poseidon, wenn ich auf dem Grunde nicht,
nicht zu Land’ und nicht zu Wasser vor den Rittern sicher bin!’

συνέκαμον συνεπράξαντο. πολλὰ γὰρ δὴ πράγματα Ξυνδιήνεγκαν μεθ’ ἡμῶν, εἰσβολάς τε καὶ μάχας 597 Suidas Zonaras I 630 *εἰσβολάς. τὰς ἐπὶ τὴν τῶν πολεμίων χώραν ἐφόδους ἐκάλουν εἰσβολάς* 599 f. Athenaios 11 483 D *Ἀριστοφάνης ἱππεῦσιν εἰς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς Πριάμενοι* (*πριάμεναι* B) *κώθωνας, οἱ δὲ σκόροδα* (*σκόρδα* B) *καὶ κρόμμυα.* Suidas Zonaras II 1116 Phaborin. 948 17 *ἱππαγωγούς* 600 Phaborin. 1139 12 *κώθωνας* 602 Suidas *ἀνερρύαξαν* (Zonaras I 209 Phaborin. 185 53). — *ἐμβαλεῖς ... ὑππαπαὶ* (*ὑπαπαὶ* BE) *τίς ἐμβαλεῖ;* — *ἑποποῖ* (II 491 16) *ἱππαπαὶ ἐπὶ ἵππων. Ἀριστοφάνης τίς ἐμβαλεῖ;* 608 Suidas *Θέωρος*

ΧΟΡΟΣ

ὦ φίλτατ᾽ ἀνδρῶν καὶ νεανικώτατε
ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα.
καὶ νῦν ἐπειδὴ σῶς ἐλήλυθας πάλιν
ἄγγειλον ἡμῖν πῶς τὸ πρᾶγμ᾽ ἠγωνίσω.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

τί δ᾽ ἄλλο γ᾽ εἰ μὴ νικόβουλος ἐγενόμην;

ΧΟΡΟΣ (στροφή)

νῦν ἄρ᾽ ἄξιόν γε πᾶσίν ἐστιν ἐπολολύξαι.
ὦ καλὰ λέγων πολὺ δ᾽ ἀμείνον᾽ ἔτι τῶν λόγων
ἐργασάμεν᾽ εἴθ᾽ ἐπέλ-
θοις ἅπαντά μοι σαφῶς,
ὡς ἐγώ μοι δοκῶ
κἂν μακρὰν ὁδὸν διελθεῖν
ὥστ᾽ ἀκοῦσαι. πρὸς τάδ᾽ ὦ βέλ-
τιστε θαρρήσας λέγ᾽, ὡς ἅ-
παντες ἡδόμεσθά σοι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

καὶ μὴν ἀκοῦσαί γ᾽ ἄξιον τῶν πραγμάτων.
εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ᾽ ἰέμην.

611—615 ἔτι τοῦ χοροῦ ἴαμβοι τρίμετροι ἀκατάληκτοι ε' schol. γενικώτατε Γ (γρ. καὶ νεανικώτατε) ΘΔ 614 ἠγώνισαι Cobet 615 ἄλλο εἰ RΘΔ. Νικόβουλος Bergler 616 ἄξιον πᾶσιν RVΓΘΔ. ὀλολύξαι R 617 ἄμεινον vor Bergler (RV nach Bekker) 618 εἰργασμένε vor Bentley εἰργασμέν᾽ RVA. εἴθ᾽ Γ ἴθ᾽ ΘΔ 619 ἅπαν Bentley 621 ὥστ᾽ R 622 θαρσήσας Aldus θαρρήσας RVA (γρ. Γ) 623 ἡδόμεθα R (nach Bekker) ΓΘΔ 625 ἰέμην vor Dindorf

Siebente Scene. Chor. Wursthändler.

CHOR.

Ausbund der Männer, du mein jugendlicher Held,
was hat mich dein Entferntsein doch besorgt gemacht!
Doch nun, da wohlbehalten du zurückgekehrt,
sag wie du aus dem Handel dich gezogen hast.

WURSTHÄNDLER.

Wie kannst du zweifeln, dafs im Rath ich Sieger war?

CHOR.

Nun so mufs denn alles Volk aufjauchzen vor Entzücken.
Mann der schönen Worte, doch viel schön'rer That Vollbringer noch,
sei so gütig, ach erzähl'
haarklein alles mir sofort!
noch so weit, dünket mich,
könnt' ich gehen, nur um das mit
anzuhören. Also bester,
frisch weg von der Leber sprich jetzt,
da du sämtlich uns erfreust.

WURSTHÄNDLER.

Zum Henker, die Geschicht' ist auch des Hörens werth.
Von hier, ihr wifst, folgt' ich ihm auf dem Fufse nach.

---

611 ff. Suidas *σῶς ἀντὶ τοῦ σῶος. Ἀριστοφάνης ὦ φίλτατ' ἀνδρῶν καὶ νεανικώτατε Ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα. Καὶ νῦν ἐπειδὴ σῶς ἐλήλυθας πάλιν Ἄγγελον ἡμῖν πῶς τὸ πρᾶγμ' ἠγωνίσω* 612 Suidas *φροντὶς ... ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα* (*τὴν φροντίδα* BE Med.) 625 Phot. 341 20 *ὄπισθεν καὶ κατόπιν ἱππεῦσιν.* Suidas Zonaras I 1094 *ἰέμην ἐπορευόμην. εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ' ἰέμην*

ὃ δ᾽ ἄρ᾽ ἔνδον ἐλασίβροντ᾽ ἀναρρηγνὺς ἔπη
ἱερατευόμενος ἤρειδε κατὰ τῶν ἱππέων
κρημνοὺς ἐρείπων καὶ ξυνωμότας λέγων
πιθανώταθ᾽, ἡ βουλὴ δ᾽ ἅπασ᾽ ἀκροωμένη
ἐγένεθ᾽ ὑπ᾽ αὐτοῦ ψευδατραφάξυος πλέα
κἄβλεψε νᾶπυ καὶ τὰ μέτωπ᾽ ἀνέσπασεν.
κἄγωγ᾽ ὅτε δὴ ᾽γνων ἐνδεχομένην τοὺς λόγους
καὶ τοῖς φενακισμοῖσιν ἐξαπατωμένην,
᾽ἄγε δὴ σκίταλοι καὶ φένακες᾽ ἦν δ᾽ ἐγώ,
᾽βερέσχεθοί τε καὶ κόβαλοι καὶ μόθων
ἀγορά τ᾽, ἐν ᾗ παῖς ὢν ἐπαιδεύθην ἐγώ,
νῦν μοι θράσος καὶ γλῶτταν εὔπορον δότε
φωνήν τ᾽ ἀναιδῆ᾽. ταῦτα φροντίζοντί μοι
ἐκ δεξιᾶς ἀπέπαρδε καταπύγων ἀνήρ.
κἀγὼ προσέκυσα κᾆτα τῷ πρωκτῷ θενὼν

---

627 *ἤρει δὲ* R nach *Dindorf* 1821 628 *ἐρεῖδων* codd. *ἐρίζων Küster* *ἐρείπων Brunck* *ἐρεύγων Thiersch* *ἐρείκων Bergk.* *λέγων·* vor *Dindorf* 629 *πιθανώτατα δ᾽ ἡ* vulgo *πιθανώτατά θ᾽ ἡ* VΔ *πιθανώταθ᾽ ἡ* ΑΘ. *᾽βουλὴ γ᾽ Aldus* *βουλὴ* RVCΓ *βουλὴ δ᾽* ΑΘΔ. *ἀνακροωμένη* R nach *Bekker*, *ἂν ἀκροωμένη* nach *Dindorf* 1821 630 *ψευδατραφάξιος Aldus* *ψευδατράφαξυς* R *ψευδατραφάξυος* V (nach *Bekker*) ΑΓ (γρ. α) *ψευδατραφύξυος* Θ *ψευδατραφύξυος Δ* *ψευδατραφύξιος* P 631 *νάπυ* vor *Dindorf* (*νᾶπυ* RV nach *Bekker*). *κἄβλεψεν ἄπυ Δ.* *καὶ μέτωπ᾽ ἀνέσπασε* schol. 633 *τοῖσι Aldus* *τοῖς* RVACΓΘΔ. *ἐξηπατωμένην Γ* *ἐξηπατυμένην Δ* 634 *σκύταλοι* R *Σκίμαλοι Bentley* *μόθωνες καὶ φένακες Reisig* 635 *᾽Ερέσχελοι Bentley.* *κοάλεμοι δὲ οἱ ἀνόητα κοοῦντες* (β) .schol. *μόθωνες* vulgo *μόθων* schol. (V nach *Bekker*) *καὶ μόθωνές τε κόβαλοι* B (α) *καὶ μόθωνές γε κόβαλοι* P *μόθωνες καὶ κόβαλοι Biset* *μόθωνες ἠδὲ κόβαλοι καὶ βερέσχεθοι Tan. Faber* *βερέσχεθοι σκίταλοί τε καὶ κοάλεμοι Reisig* *τε καὶ κοβαλομοθάονες Fritzsche* 637 *γλῶσσαν Aldus* *γλῶτταν* RVΑΓΘΔ 639 *ἀπέπαρδεν* schol. *ἐπέπαρδε Halbertsma* 640 *κᾆτα τῶν πρωκτῶν Δ.* *θένων* vor *Dindorf* (RV nach *Bekker*)

626 f. Suidas *ἀναρρηγνύς ... Ἀριστοφάνης ἐλασίβροντ᾽ ἀναρρηγνὺς ἔπη. — ἐλασίβροντ᾽ ἀναρρηγνὺς ἔπη Ἀριστοφάνης.* Zonaras I 688 *ἐλασίβροντα ... Ἀριστοφάνης ἐλασίβροντ᾽ ἀναρρηγὺς ἔπη.* Phaborin. 612 31 *ἐλασίβροντα.* Suidas *ἤρειδεν* (Zonaras I 1005) *ἤμιεν ἔπεμπεν.* *ἔπη* (fehlt im A) *ἤρειδε κατὰ τῶν ἱππέων* 627 Suidas *τερατευόμενος* (Phaborin. 1744 18 *τερατευόμενος ... παρὰ τῷ Ἀριστοφάνει*). Phot. 74 17 *ἤρειδε*

In Donnerworte brach er drinnen aus und fiel
mit wunderlichem Unsinn über euch Ritter her
mit Blöcken um sich werfend, nannte Verschwörer euch
ganz zuverlässig; und der Rath bei dem Geschrei
ward gänzlich von ihm angefüllt mit Lügenkohl,
sah wie ein Senfteig, und die Stirnen zog er kraus.
Doch ich, da ich bemerkte, wie er solchem Zeug
Gehör verlieh und von dem Schuft sich täuschen liefs,
sprach bei mir selbst: ‘auf! Trugdaimonen, Flunkerei,
Alfanzerei und Teufelei, Spitzbüberei
und du o Markt, auf dem ich grofs gezogen ward,
leiht alle Muth und Zungenfertigkeit mir jetzt
und ein unverschämtes Maulwerk.’ Da ich dies gedacht,
liefs ein Scheifskerl mir zur rechten herzhaft einen Furz.
Da betet' ich an und mit dem Hintern stofsend sprengt'

σφοδρῶς κατηγόρει 628 schol. 696 (Suidas *ψολοκομπία*) *κρημνοὺς ἐρείδειν.* Suidas *κρημνὸς φάραγξ. Ἀριστοφάνης κρημνοὺς ἐρείδων* 630 Eustath. 539 7 *ὡς καὶ ὁ κωμικὸς δηλοῖ ἐν τῷ ψευδατραφάξυος πλέα* (Phaborin. 1864 40 *ψευδατραφάξυος πλήρης ... Ἀριστοφάνης*) 631 Moiris p. 271 *νάπυ ἀττικῶς.* Athenaios 9 366 D *Κράτης δ' ἐν τοῖς περὶ τῆς ἀττικῆς λέξεως Ἀριστοφάνη παριστᾷ λέγοντα καὶ βλέπε* (*κἄβλεπε Meineke*) *σίναπυ* (*σίνηπυ* AB *σίναπι* PVL) *καὶ τὰ πρόσωπ' ἀνέσπασε καθά φησι Σέλευκος ἐν τοῖς περὶ ἑλληνισμοῦ. ἔστι δ' ὁ στίχος ἐξ ἱππέων καὶ ἔχει οὕτως· κἄβλεψε* (*κἄμβλεψε* B) *νᾶπυ. οὐδεὶς δ' Ἀττικῶν οἴναπυ ἔφη.* Choiroboskos zum Theodosios 375 29 *σεσημείωται τὸ νάπυ νάπυος, ὅτι μακρᾷ παραληγόμενον, οἷον ὡς παρὰ Ἀριστοφάνει κἄβλεψε νάπυϊ καὶ τὰ μέτωπα ἀνέσπασεν, οὐκ ἐκλίθη διὰ τοῦ εος, ἀλλὰ διὰ τοῦ υ.* Eustath. 1061 2 *χρῆσις δὲ νάπυος παρὰ τῷ κωμικῷ ἐν τῷ κἄβλεψε νάπυ.* Suidas *νάπυ* (*νᾶπυ Bernhardy*) *σίνηπι. κἄβλεψε νάπυ καὶ τὰ μέτωπ' ἀνέσπασεν* 633 Phaborin. 1824 20 *φεναχισμοῖς* 634 ff. Hesych. Phaborin. 1659 45 *σκίταλοι.* Suidas *σκίταλοι ... Ἀριστοφάνης ἄγε δὴ σκίταλοί τε καὶ φέναχες* (*φεόναχες* V), *ἦν δ' ἐγώ, Βερέσχεθοί* (*βερέσχελοι* BE) *τε καὶ κόβαλοι* (*τε κόβαλοι* Med.) *καὶ μόθωνες Ἀγορά τ', ἐν ᾗ παῖς ὢν ἐπαιδεύθην* (*ἐπαιδεύθη* *V) *ἐγώ, Νῦν* (*ἐπαιδεύθην, νῦν* AVE Med.) *μοι θράσος καὶ* (*θράσος τε καὶ* AVE Med.) *γλῶτταν εὔπορον δότε Φωνήν τ' ἀναιδῆ* (*φωνὴν ἀναιδῆ* A*V). — *ἦν δ' ἐγώ ... παρὰ ... Ἀριστοφάνει* 635 Suidas *βερέσχεθοι οἱ ἀνόητοι. πέπλασται δὲ ἡ λέξις παρὰ Ἀριστοφάνει* (Zonaras I 383 Phaborin. 363 51). — *κοάλεμος ... κοάλεμοι παρὰ Ἀριστοφάνει.* Phaborin. 1075 46 *κόβαλοι.* Suidas *μόθωνες παρὰ Ἀριστοφάνει* (cf. Phot. 273 13 *μόθων*)

τὴν κιγκλίδ᾽ ἐξήραξα κἀναχανὼν μέγα
ἀνέκραγον ‘ὦ βουλὴ λόγους ἀγαθοὺς φέρων
εὐαγγελίσασθαι πρῶτον ὑμῖν βούλομαι·
ἐξ οὗ γὰρ ἡμῖν ὁ πόλεμος κατερράγη
οὐπώποτ᾽ ἀφύας εἶδον ἀξιωτέρας.᾽
οἱ δ᾽ εὐθέως τὰ πρόσωπα διεγαλήνισαν,
εἶτ᾽ ἐστεφάνουν μ᾽ εὐαγγέλια. κἀγὼ ᾽φρασα
αὐτοῖς ἀπόρρητον ποιησάμενος ταχύ,
ἵνα τὰς ἀφύας ὠνοῖντο πολλὰς τοὐβολοῦ,
τῶν δημιουργῶν ξυλλαβεῖν τὰ τρύβλια.
οἱ δ᾽ ἀνεκρότησαν καὶ πρὸς ἔμ᾽ ἐκεχήνεσαν.
ὃ δ᾽ ὑπονοήσας ὁ Παφλαγὼν εἰδώς τ᾽ ἄρα
οἷς ἥδεθ᾽ ἡ βουλὴ μάλιστα ῥήμασιν
γνώμην ἔλεξεν· ‘ἄνδρες ἤδη μοι δοκεῖ
ἐπὶ συμφοραῖς ἀγαθαῖσι ταῖς ἠγγελμέναις
εὐαγγέλια θύειν ἑκατὸν βοῦς τῇ θεῷ.᾽
ἐπένευσεν εἰς ἐκεῖνον ἡ βουλὴ πάλιν.
κἄγωγ᾽ ὅτε δὴ ᾽γνων τοῖς βολίτοις ἡττημένος
διακοσίαισι βουσὶν ὑπερηκόντισα,
τῇ δ᾽ ἀγροτέρᾳ κατὰ χιλιῶν παρήνεσα
εὐχὴν ποιήσασθαι χιμάρων εἰσαύριον,

---

641 ἐξάραξα vor *Bentley* (ἐξήραξα RV nach *Bekker*). κἀγχανὼν *Lenting* 642 ohne ὦ R 643 πρῶτον vulgo πρῶτος V von zweiter Hand 646 τῶν δ᾽ vulgo οἱ δ᾽ R ἡ δ᾽ *Fritzsche*. εὐθὺς Γ (γρ. εὐθέως) Δ. διεγαλήνισεν RV διεγαλήνισαν P 648 ποιησαμένοις *Bentley* ποιησαμένους *Reiske*. ἀπόρρητον, ποιησάμενος vor *Dindorf* ποιησάμενος, ταχὺ Ἵνα *Bergk* 649 τὰς] τοὺς Γ 650 συλλαβεῖν R. τρυβλία vulgo τρύβλια R 651 οἱδ᾽ vor *Brunck*. ἐκεχίνεσαν R nach *Bekker* 652 ὃδ᾽ vor *Brunck*. ἐπινοήσας *Meineke*. ἄρα vulgo τἄμα R τ᾽ ἄρα *Dindorf* 1821. 1846 θ᾽ ἅμα *Dindorf* adnot. 1821 γ᾽ ἄρα *Meineke* 654 ἤδη μοι] καμοὶ R ὡς καμοὶ *Dindorf* 1821 ἦ καμοὶ *Bothe* 655 ἀγαθαῖσιν εἰσηγγελμέναις vulgo ἀγαθαῖς lemma schol. ἠγγελμέναις R ἀγαθαῖσι ταῖς *Cobet* 656 θεᾷ ΓΘ (beide γρ. τῇ θεῷ) Δ 659 διηκοσίοισι *Aldus* διηκοσίῃσι RVΑΓΘΔ διακοσίοισι C διακοσίαισι *Dindorf* 660 χιλίων vulgo τὸ δὲ χιλιῶν περισπῶσι schol. 661 χιμάρων, ἐσαύριον *Ai Brunck*. ἐσαύριον vulgo εἰσαύριον R

641 Suidas κιγκλίδας. Phaborin. 1052 27 κιγκλὶς ἡ θύρα τοῦ δικαστηρίου ... εὕρηται παρὰ τῷ Ἀριστοφάνει. Pollux 2 97 παρὰ δὲ Ξενοφῶντι καὶ ἀναχαίνειν καὶ παρ᾽ Ἀριστοφάνει 643 Phrynichos 266 Ἀριστοφάνους

ich die Schranken, rifs das Maul auf, schrie in den Sitzungssaal
aus Leibeskräften: 'hört ihr Herren, unverweilt
mufs ich euch Botschaft bringen; Heil verkünd' ich euch;
denn seit der Krieg hereingebrochen über uns,
hab' ich die Sardellen niemals billiger erlebt.'
Auf einmal klärten da sich alle Stirnen auf,
und man bekränzte mich für die Botschaft. Eilig nun
rieth ich, sie möchten's geheim noch halten und um dann
recht viel Sardellen zu bekommen für einen Obol,
aufkaufen alle Näpfe von dem Töpfermarkt.
Da klatschten sie Beifall, und ich war ein grofser Mann.
Der Paphlagonier aber, wie er das bemerkt,
wohl wissend, was dem Rath die meiste Freude macht,
sprach nun gewichtig: 'hört mich an! ich schlage vor,
der Göttin für die Gnade, die die Stadt erfährt,
mit hundert Stieren darzubringen unsern Dank.'
Da stimmten ihm denn wieder alle Rathsherrn zu.
Doch da ich derart mich mit Mist geschlagen fand,
stach ich ihn wied'rum mit zweihundert Rindern aus
und rieth, der Waldesgöttin ein Gelübde noch
auf morgen von tausend Ziegenböcken gleich zu thun,

μὲν οὕτω λέγοντος ἐν τοῖς ἱππεῦσιν· εὐαγγελίσασθαι πρῶτος ὑμῖν βούλομαι (Phaborin. 780 14) 645 Etymol. M. 179 37 *Ἀριστοφάνης οὔποτ' ἀφύας εἶδον ἀξιωτέρας.* Eustath. 836 23 *οἱ δὲ ὕστερον Ἀττικοὶ ἄξιον καὶ τὸ εὔωνον εἶπον καθὰ δηλοῖ καὶ ὁ κωμικός* (cf. 1039 47). 1896 57 *καὶ ὁ κωμικὸς ἔν τε ἄλλοις καὶ ἐν τῷ ἀξιωτέρας ἀφύας.* Suidas *ἀξιώτερος ... καὶ ἀξιωτέρας ... οὐπώποτ' ἀφύας εἶδον ἀξιωτέρας* (Phaborin. 215 46) 646 Phaborin. 501 11 *διεγαλήνησε πρόσωπα προσηνῆ καὶ πρᾶα καὶ ἥμερα ἐγένοντο. Ἀριστοφάνης* 647 Suidas *ἐστεφάνουν οἱ Ἀθηναῖοι τοὺς εὐαγγελιζομένους* 650 Zonaras I 465 *δημιουργοὶ οἱ κεραμεῖς, οἱ σκευοποιοί, οἱ τέκτονες* 655 Suidas *συμφορά ... διὸ λέγει ἐπὶ συμφοραῖσιν ἀγαθαῖς* 660 f. schol. V Homer. *Φ* 471 *οὕτω δὲ παρὰ Συρακουσίοις καὶ Ἀθηναίοις τιμᾶται· τῇ δ' ἀγροτέρᾳ παρήνεσα κατὰ χιλίων Εὐχὴν ποιήσασθαι.* Eustath. 361 36 *ἔτι δὲ καὶ ἀγροτέρα Ἄρτεμις, ὡς καὶ ὁ κωμικὸς δηλοῖ* (cf. 1821 22). 1247 9 *ὅτι δὲ καὶ ἀπολύτως ἀγροτέρα λέγεται Ἄρτεμις ἐπιθετικῶς παρ' Ἀττικοῖς, δηλοῦσιν ἄλλοι τε καὶ ὁ κωμικὸς ἐν οἷς λέγει κατὰ χιλίων τῇ ἀγροτέρᾳ εὔξασθαι* (cf. 1454 27). Phaborin. 27 53 *ἀγροτέραν ... Ἀριστοφάνης ἀγροτέρᾳ τῇ Ἀρτέμιδι*

αἱ τριχίδες εἰ γενοίαθ᾽ ἑκατὸν τοὐβολοῦ.
ἐκαραδόκησεν εἰς ἔμ᾽ ἡ βουλὴ πάλιν.
ὃ δὲ ταῦτ᾽ ἀκούσας ἐκπλαγεὶς ἐφληνάφα,
κᾆθ᾽ εἶλκον αὐτὸν οἱ πρυτάνεις χοὶ τοξόται.
οἳ δ᾽ ἐθορύβουν περὶ τῶν ἀφύων ἑστηκότες·
ὃ δ᾽ ἠντεβόλει γ᾽ αὐτοὺς ὀλίγον μεῖναι χρόνον,
ἵν᾽ ἅτθ᾽ ὁ κήρυξ οὐκ Λακεδαίμονος λέγει
πύθησθ᾽, ἀφῖκται γὰρ περὶ σπονδῶν᾽ λέγων.
οἳ δ᾽ ἐξ ἑνὸς στόματος ἅπαντες ἀνέκραγον·
ʻνυνὶ περὶ σπονδῶν; ἐπειδή γ᾽ ὦ μέλε
ἤσθοντο τὰς ἀφύας παρ᾽ ἡμῖν ἀξίας.
οὐ δεόμεθα σπονδῶν, ὁ πόλεμος ἑρπέτω.᾽
ἐκεκράγεσάν τε τοὺς πρυτάνεις ἀφιέναι,
εἶθ᾽ ὑπερεπήδων τοὺς δρυφάκτους πανταχῆ.
ἐγὼ δὲ τὰ κορίαν᾽ ἐπριάμην ὑποδραμὼν
ἅπαντα τά τε γήτει᾽ ὅσ᾽ ἦν ἐν τἀγορᾷ,
ἔπειτα ταῖς ἀφύαις ἐδίδουν ἡδύσματα
ἀποροῦσιν αὐτοῖς προῖκα κἀχαριζόμην.
οἳ δ᾽ ὑπερεπήνουν ὑπερεπύππαζόν τέ με
ἅπαντες οὕτως ὥστε τὴν βουλὴν ὅλην
ὀβολοῦ κοριάννοις ἀναλαβὼν ἐλήλυθα.

---

662 *τριχίδες δ᾽ ΓΘΔ. γένοιντ᾽ ἂν Bentley* 664 *ἐφληνάφει* B 666 *οἵδ᾽* vor *Brunck. ἀφυῶν Elmsley. ἐσιυκότες* bei *Scaliger* 667 *ὅδ᾽* vor *Küster. ἠντιβόλει* vor *Cobet* 668 *ἅτ᾽* R nach *Bekker. λέγει*] *λέγηι* R *λέγειν πάλιν* A *λέγει πάλιν* B *λέγῃ πάλιν ΘΔ φέρει Brunck* 669 *σπονδῶν λέγων* (*λόγων* Θ) vulgo, verbessert von *G. Hermann σπονδῶν πάλιν Porson* 670 *οἵδ᾽* vor *Küster. πάντες Δ* 671 *μέλε᾽* Θ 673 *γρ. ἐρρέτω* schol. *γρ. καὶ ἐρρέτω Γ* 674 *ἐκεκράγασαν Δ. ἀπιέναι* vor *Brunck* (*ἀφιέναι* V nach *Bekker*) *τούς γε πρυτάνεις ἀπιέναι Bothe* 675 *οἵδ᾽* (*γρ. εἶθ᾽*) *ΓΘΔ. δρυφάκτας ΓΘΔ. πανταχοῦ* vulgo *πανταχῆ* R (*πανταχῇ* nach *Bekker*) 676 *ἐγὼ*] *ἐπεὶ* Θ (*γρ. ἐγὼ*) *Δ. ὑπεκδραμών* R *ὑπερδραμών Reisig δὲ κοριαν᾽ ἐπριάμην ὑπεκδ. Bothe δ᾽ ἐπριάμην τὰ κοριαν᾽ ὑπεκδ. Fritzsche* 677 *τά τε*] *τε τὰ* R. *τῇ ἀγορᾷ Aldus τῇ ʼγορᾷ Brunck τἀγορᾷ* (RV nach *Bekker*) *ΓΘΔ* 679 *ἀπαίρουσιν* R. *κἀνεχαριζόμην ΘΔ* 680 *οἵδ᾽* vor *Küster. ὑπερεπυππάζοντο. γράφεται καὶ ὑπερεπλήσοντό με* schol. *ὑπερεπύππαζον* lemma eines andern schol. *χὑπερεπυππάζοντό με Bentley ὑπερεπύππαζόν τ᾽ ἐμέ Brunck ὑπερεπάππαζόν τ᾽ ἐμέ Reiske ὑπερεπυππάζοντό με* R *ὑπερεπλήσσονθ᾽ ὑπερεπύππαζόν τ᾽ ἐμέ Lenting*

wenn die Sprotten einen Obolos kämen hundert Stück.
Da fielen mir denn wieder alle Rathsherrn zu.
Er dieses hörend wurde blafs und faselte,
bis ihn Prytanen und Polizei beseitigten.
Die ständen nun und stritten um die Sardellen sich;
er aber bat um ein klein wenig nur Geduld,
'zu hören, was für Botschaft uns der Herold bringt
aus Sparta' — sagt' er, — 'der des Friedens wegen kam.'
Da aber aus einem Munde schrie der ganze Rath:
'jetzt Frieden? ei da sieht man's! weil sie ausgespürt,
dafs die Sardellen hier billig sind? nichts, lieber Freund!
wir brauchen keinen Frieden, daure der Krieg nur fort!'
Und alles rief den Prytanen zu: 'Schlufs! macht doch! Schlufs!'
und über das Geländer sprang man hier und dort.
Ich stahl mich weg und auf dem Markte kauft' ich rasch
zusammen, was ich von Koriander und Lauch nur fand;
und dann bekamen zu den Sardellen sie von mir
die Würz' umsonst in ihrer Noth: das freute sie.
Und nun ergofs von Lob und von Bewunderung
ein Strom sich, dafs ich sagen kann, den ganzen Rath
hab' ich im Sack mit Koriander für einen Obol.

---

662 Athenaios 7 328 E *Ἀριστοφάνης ἐν ἱππεῦσι αἱ τριχίδες εἰ γένοιτο* (so PV *γένοιντο* L) *ἑκατὸν τοὐβολοῦ.* Eustath. 1276 32 *μέμνηται δ' αὐτῆς καὶ ὁ κωμικὸς ἐν τῷ αἱ τριχίδες εἰ γενοίαθ' ἑκατὸν τοὐβολοῦ.* Suidas *τριχίδες* 663 Suidas *ἐκαραδόκησεν* 671 (1337) schol. Platon. Theaet. 178 E *ὦ μέλε παρὰ τοῖς νεωτέροις ὑπὸ γυναικῶν λέγεται μόνον ὡς τὸ ὦ τάλαν, παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν, ὡς ἐν ἱππεῦσιν Ἀριστοφάνους.* Suidas *ὦ μέλε ... καὶ ἐν ἱππεῦσιν Ἀριστοφάνης* 673 Suidas *ἐρρέτω ... ὁ πόλεμος ἐρρέτω ... Ἀριστοφάνης* 675 Zonaras I 569 *δρυφάκτους ... οἷον καθύπερθεν ἐπήδων* (fort. *κἄθ' ὑπερεπήδων' Dindorf*) *τοὺς δρυφάκτους.* Phaborin. 533 25 *δρύφακτοι ... παρὰ Ἀριστοφάνει δὲ τὰ ταυλώματα τοῦ δικαστηρίου* 678 Erotianos voc. Hippocrat. 172 *ἡδύσμασι ... ἀττικὴ δὲ ἡ λέξις, ὡς καὶ Ἀριστοφάνης ἐν ἱππεῦσι* 680 Phrynichos bei Bekker anecd. gr. I 69 *ὑπερπυππάζειν.* Suidas *ὑπερεπυππάζοντό με* (*ὑπερεπυπτάζοντό με* *V). Phaborin. 1799 21 *ὑπερεπύπαζον ... Ἀριστοφάνης* 681 f. Suidas *ὀβολοῦ χοριάννοις τὴν βουλὴν ἀναλαβὼν ἐλήλυθα Ἀριστοφάνης* 682 schol. 624 *ὧν τελευταῖος ὀβολοῦ χοριάννοις ἀναλαβὼν ἐλήλυθα*

ΧΟΡΟΣ (ἀντίστροφος)

πάντα τοι πέπραγας οἷα χρὴ τὸν εὐτυχοῦντα, 670
εὗρε δ᾽ ὁ πανοῦργος ἕτερον πολὺ πανουργίαις
μείζοσι κεκασμένον
καὶ δόλοισι ποικίλοις
ῥήμασίν θ᾽ αἱμύλοις.
ἀλλ᾽ ὅπως ἀγωνιεῖ φρόν- 675
τιζε τἀπίλοιπ᾽ ἄριστα·
συμμάχους δ᾽ ἡμᾶς ἔχων εὖ-
νους ἐπίστασαι πάλαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

καὶ μὴν ὁ Παφλαγὼν οὑτοσὶ προσέρχεται
ὠθῶν κολόκυμα καὶ ταράττων καὶ κυκῶν 680
ὡς δὴ καταπιόμενός με. μορμὼ τοῦ θράσους.

ΠΑΦΛΑΓΩΝ

εἰ μὴ σ᾽ ἀπολέσαιμ᾽, εἴ τι τῶν αὐτῶν ἐμοὶ
ψευδῶν ἐνείη, διαπέσοιμι πανταχῆ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἤσθην ἀπειλαῖς, ἐγέλασα ψολοκομπίαις,
ἀπεπυδάρισα μόθωνα, περιεκόκκασα. 685

---

683 *ἅπαντα* R *ἃ πάντα Reisig. πάντα δὴ* V. *πέπραχας Aldus* 684 *ηὗρε Meineke* 686 *δόλοις Bentley* 687 *ῥήμασι* (vor *Brunck*) V nach *Bekker*. *τ᾽ αἱμυλίοις* R. *αἱμύλοις* B *αἱμυλίοις* VACΓΘΔ (B von zweiter Hand) schol. - 688 *ἄριστ᾽ Bothe* 689 f. *συμμάχους* R *ξυμμάχους* vor *Dindorf*. *εἰ ξυμμάχους ἡμᾶς Bothe. ἡμᾶς ἔχων*] ohne *ἔχων* R *ἔχων ἡμᾶς ΘΔ*. *εὖνους ἐπίστασαι*] *ἐπίστασαι εὖνους ΓΘΔ* 692 *κολείκυμα Δ* 693 *γρ. καταπινόμενος* schol. V. *με μορμών· Bentley* 694 *τῶν λοιπῶν Reiske* 695 *ἔνεστι Reiske. πανταχῇ Dindorf* 1825 (RV nach *Bekker*) *πανταχοῦ* var. lect. schol. 697 *ἀπεπυδάρισα, μόθωνα* vor *Portus*. *περιεκόκκυσα* (*περιεκόκυσα Γ*) vulgo *περιεκόκκισα Bentley περιεκόκκαυσα* R

683 schol. 616 *ἔχει γὰρ καὶ ἀντιστροφὴν τὸ πάντα δὴ πέπραγας* 691 f. Suidas *ὁ Παφλαγὼν οὑτοσὶ προσέρχεται Ὠθῶν κολόκυμα καὶ ταράττων καὶ κυκῶν ἀντὶ τοῦ κτλ.* 692 Eustath. 1539 52 *καὶ ἔστι τὸ τοιοῦτον κῦμα κωφὸν καὶ ὡς ὁ κωμικὸς λέγει κολόκυμα.* Suidas *κολόκυμα ... ὠθῶν κολόκυμα καὶ ταράττων καὶ κυκῶν Ἀριστοφάνης.* Phaborin. 1081 21 *κολόκυμα* 693 Eustath. 1150 35 *καὶ τὸ μορμὼ τοῦ θρά-*

CHOR.

Dir geht alles ganz nach Wunsch, du bist ein wahres Glückskind;
und gefunden hat der Schlaukopf einen andern, der ihn weit
noch an Schlauheit übertrifft
und an abgefeimter List,
wie mit durchtrieb'nem Wort.
Doch nun sorge, dafs du mit dem
Rest so schön auch fertig werdest;
dafs in uns du treue Bundsge-
nossen findest, weifst du längst.

WURSTHÄNDLER.

Da kommt der Paphlagonier ja schon angesetzt
wuthschnaubend gleich dem Sturme, der den Grund bewegt,
als wollt' er mich verschlingen. Himmel, welch ein Graus!

Achte Scene. Die Vorigen. Kleon.

KLEON.

Richt' ich dich nicht zu Grunde, lebt ein Fünkchen noch
in mir der alten Kniffe, will ich verloren sein.

WURSTHÄNDLER.

Dein Dräuen freut mich, dein Rasaunen macht mir Spafs,
ich tanze Cancan, amüsier mich königlich.

σους παρὰ τῷ κωμικῷ (cf. 1234 55 Phaborin. 1273 43). Suidas μορμώ ... καὶ αὖθις Ἀριστοφάνης μορμὼ τοῦ θράσους 694 f. Suidas διαπέσοιμι ... Ἀριστοφάνης εἰ (fehlt in ABCVE Med.) μή σ' ἀπολέσαιμ', εἴ τι τῶν ἐμῶν (ἐμῶν fehlt in BE) Ψευσμάτων ἐνείη, διαπέσοιμι πανταχῆ. — ἐνείη ... Ἀριστοφάνης εἰ μή σ' ἀπολέσαιμ', εἴ τι τῶν αὐτῶν ἐμοὶ Ψευδῶν ἐνείη (ἐνοίη V), διαπέσοιμι πανταχῆ 695 Zonaras I 746 ἐνείη ἀντὶ τοῦ ἔνεστιν. οὕτως Ἀριστοφάνης. Phabor. 490 11 διαπέσοιμι ... Ἀριστοφάνης 696 Hesych. ψολοκομπίαι ἀλαζόνες κομπασταί. Phot. 655 24 Suidas ψολοκομπία ἀλαζονεία. Ἀριστοφάνης ἱππεῦσιν ἤσθην ἀπειλαῖς, ἐγέλασα ψολοκομπίαις. Phaborin. 1886 14 ψολοκομπίαις 697 Etymol. M. 696 4 Ἀριστοφάνης ἱππεῦσιν ἀπεπυδάρισα (ἀπεπυδάρισαν VM) μόθωνα. Eustath. 1679 38 τοιοῦτον δὲ καὶ παρὰ τῷ κωμικῷ τὸ ἀπεπυδάρισα. Phot. 416 16 περιεκόχχασα περιεγέλασα καὶ κατωρχησάμην Ἀριστοφάνης. Suidas ἀπεπυδάρισα Ἀριστοφάνης μόθωνα, περιεκόχχυσα. Phaborin. 1480 11 ἀπεπυδάρισα. 10 περιεκόχχυσα

ΠΑΦΛΑΓΩΝ

οὗτοι μὰ τὴν Δήμητρά γ', εἰ μή σ' ἐκφάγω
ἐκ τῆσδε τῆς γῆς, οὐδέποτε βιώσομαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

εἰ μὴ 'κφάγῃς; ἐγὼ δέ γ' εἰ μή σ' ἐκπίω,
κἂν ἐκροφήσας αὐτὸς ἐπιδιαρραγῶ.

ΠΑΦΛΑΓΩΝ

ἀπολῶ σε νὴ τὴν προεδρίαν τὴν ἐκ Πύλου.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἰδοὺ προεδρίαν· οἷον ὄψομαι σ' ἐγὼ
ἐκ τῆς προεδρίας ἔσχατον θεώμενον.

ΠΑΦΛΑΓΩΝ

ἐν τῷ ξύλῳ δήσω σε νὴ τὸν οὐρανόν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ὡς ὀξύθυμος. φέρε τί σοι δῶ καταφαγεῖν;
ἐπὶ τῷ φαγὼν ἥδοι' ἄν; ἐπὶ βαλλαντίῳ;

ΠΑΦΛΑΓΩΝ

ἐξαρπάσομαί σου τοῖς ὄνυξι τἄντερα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἀπονυχιῶ σου τὰν πρυτανείῳ σιτία.

ΠΑΦΛΑΓΩΝ

ἕλξω σε πρὸς τὸν Δῆμον, ἵνα δῷς μοι δίκην.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

κἀγὼ δέ σ' ἕλξω καὶ διαβαλῶ πλείονα.

---

698 *Δήμητρ'*, *ἐὰν* vulgo *Δήμητρά γ'*, *εἰ* R (auch V nach *Bekker*) *Δήμητρ' ἔτ'*, *εἰ Reisig* 700 *ἢν μὴ 'κφάγῃς* vulgo *εἰ μὴ 'κφ.* R (auch V nach *Bekker*) *μὴ 'κφάγῃς ἔμ' Meineke μὴ 'κφάγῃς μ' Bergk. ἐγὼ δέ, σ' ἢν μή γ' ἐκπίω* vulgo *μὴ 'κπίω ΓΘ ἐγὼ δέ γ', ἢν μή σ' Bentley ἐγὼ δ', ἐάν σε μὴ 'κπίω Porson ἐγὼ δέ γ', εἰ μή σ'* R (*εἰ μὴ 'κπίω* V nach *Bekker*) 701 *κἀπεκροφήσας* codd. *κἄτ' ἐκροφήσας Seager κἀπεκροφήσω σ', Reiske κἄπ' ἐκροφήσας Bothe κἂν ἐκροφήσας Bothe. ἐπεὶ διαρραγῶ Θ* 703 *προεδρίαν ΘΔ* 706 *ὀξυθυμεῖ Halbertsma. δῶ*] *δοκῶ* V (nach *Dindorf*) *Δ* (*Bekker* giebt zu 705 an: *δοκῶ* V) 707 *φάγοις ἥδιστ' ἄν* vulgo *φάγῃς ΘΔ*

KLEON.

Ich lebe, bei Demeter, keinen Tag fortan,
wenn ich dich nicht verspeise gleich mit Haut und Haar.

WURSTHÄNDLER.

Wenn du mich nicht verspeisest? ei so sauf' ich dich,
und sollt' ich selber bersten, hab' ich dich geschluckt.

KLEON.

Ich vertilge dich, bei meinem pylischen Ehrensitz.

WURSTHÄNDLER.

So! Ehrensitz? wie bald erleb' ich's, dafs ich selbst
vom Ehrensitz dich in der letzten Reihe seh'?

KLEON.

Ich spanne dich beim Himmel, Racker, in den Bock.

WURSTHÄNDLER.

Warum so hitzig? Womit stopf' ich dir das Maul?
was schlucktest du wohl am liebsten? einen Beutel Geld?

KLEON (macht die Geberde des Kratzens).

Ich reifs dir die Gedärme mit den Nägeln aus.

WURSTHÄNDLER (desgleichen).

Die Rathhausfütt'rung kratz' ich dir vom Maule weg.

KLEON.

Ich schlepp dich vor den Demos, büfsen sollst du mir.

WURSTHÄNDLER.

Dich schlepp' ich auch und schwärze dich weit mehr noch an.

φάγοις ἂν ἥδιστα schol. *φαγὼν ἥδοιτ' ἄν Kock φαγὼν ἥδοι' ἄν Enger φάγοις ἡσθεὶς Meineke φάγοις γήτει' Bergk. βαλλαντίωι* R *βαλαντίῳ* V (nach *Bekker*) AB 709 *πρυτανίωι* R nach *Bekker* 711 *δὲ σ' Bothe. πλείονα*] *γε πλείονα* VΓΘ schol. *σε πλείονα Δ σ' ἄρα καὶ διαβαλῶ γε π. G. Hermann σέ γε καὶ διαβαλῶ γε π. Sauppe σ' ἑλῶ καὶ διαβαλῶ γε π. Bergk σ' ἕλκων διαβαλῶ γε π. Bergk σ' ἕλξω διαβαλῶ τε Kock*

709 Suidas *ἀπονυχιῶ σου τὰν πρυτανείῳ* (*πρυτάνῃ* ABCE) *σιτία* (Phaborin. 251 23). Zonaras I 268 *ἀπονυχιῶ*

ΠΑΦΛΑΓΩΝ

ἀλλ᾽ ὦ πονηρὲ σοὶ μὲν οὐδὲν πείθεται,
ἐγὼ δ᾽ ἐκείνου καταγελῶ γ᾽ ὅσον θέλω.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ὡς σφόδρα σὺ τὸν Δῆμον σεαυτοῦ νενόμικας.

ΠΑΦΛΑΓΩΝ

ἐπίσταμαι γὰρ αὐτὸν οἷς ψωμίζεται.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

κᾆθ᾽ ὥσπερ αἱ τιτθαί γε σιτίζεις κακῶς.
μασώμενος γὰρ τῷ μὲν ὀλίγον ἐντίθης,
αὐτὸς δ᾽ ἐκείνου τριπλάσιον κατέσπακας.

ΠΑΦΛΑΓΩΝ

καὶ νὴ Δί᾽ ὑπό γε δεξιότητος τῆς ἐμῆς
δύναμαι ποιεῖν τὸν Δῆμον εὐρὺν καὶ στενόν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

χὠ πρωκτὸς οὑμὸς τουτογὶ σοφίζεται.

ΠΑΦΛΑΓΩΝ

οὐκ ὠγάθ᾽ ἐν βουλῇ με δόξεις καθυβρίσαι.
ἴωμεν ἐς τὸν Δῆμον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

οὐδὲν κωλύει.
ἰδοὺ βάδιζε, μηδὲν ἡμᾶς ἰσχέτω.

ΠΑΦΛΑΓΩΝ

ὦ Δῆμε δεῦρ᾽ ἔξελθε.

---

712 *πόνηρε* vor *Brunck* (*πονηρὲ* RV nach *Bekker*) 716 *καθώσπερ* *Aldus* *καθ᾽ ὥσπερ Γ* *κᾆθ᾽* RVC. *τίτθαι* vulgo *τιτθαί Dindorf* 1830 717 *μασσώμενος Γ.* *τῷ*] *τὸ* R (nach *Bekker*) *ΓΘ.* *ἐντιθεῖς* vulgo *ἐντίθης* A 720 *ποεῖν* R nach *Bekker* (*ποιεῖν* nach *Dindorf*, was bei diesem wahrscheinlich Druckfehler ist) 721 *ἐμὸς Δ.* *τουτοῖ* vulgo *τουτογὶ* RΓ 722 f. *δόκει Reiske.* *δόξας ... δῆμον; Lenting* 723 *ἐς*] *ὡς Meineke* 725 *δεῦρ᾽ ὦ δῆμ᾽ ἔξελθε ΘΔ*

715 Suidas *ψωμίζεται ... Ἀριστοφάνης ἐπίσταμαι γὰρ αὐτὸν οἷς ψωμίζεται* (Phaborin. 1887 24) 716 ff. Suidas *τίτθαι. Ἀριστοφάνης καθώσπερ* (*καθάπερ* Med.) *αἱ τίτθαι γε σιτίζεις κακῶς ... μασώμε-*

KLEON.

O Narr, dir glaubt der Demos ja kein Sterbenswort;
ich aber lach den guten aus nach Herzenslust.

WURSTHÄNDLER.

Sehr sicher hältst du dich des Demos, das ist wahr.

KLEON.

Ich weifs auch, wie am besten er zu stillen ist.

WURSTHÄNDLER.

Und machst es wie die Ammen, pflegst ihn herzlich schlecht.
Was du ihm vorkaust, davon giebst ein Stücklein nur
du ihm zu essen; selbst schluckst du dreimal so viel.

KLEON.

Sehr richtig; und ganz meisterlich kann ich nach Wunsch
aufblasen unsern Demos und zusammenzieh'n.

WURSTHÄNDLER.

Was das betrifft, darauf versteht mein A— sich auch.

KLEON.

Nicht prahlen sollst du, dafs du im Rath mich übertrumpft.
Lafs uns zum Demos gehen.

WURSTHÄNDLER.

Ja, von Herzen gern.
Schön, schön! komm mit! es soll uns nichts im Wege steh'n.

KLEON (ruft, indem beide sich stofsen und an die Thür werfen).

Hör Demos! komm doch mal heraus!

νος γὰρ τῷ μὲν ὀλίγον ἐντιθεῖς (*ἐντιθεὶς* *V Med.), *Αὐτὸς δ' ἐκείνου τριπλάσιον* (*τὸ πλεῖον* E, *τριπλάσιον* am Rande) *κατέσπακας* (*κατεσπάκει* E *κατέσπακεν* Med.) 717 Phabor. 1214 50 *μασσώμενος*. 1216 14 *μασώμενος* 718 Suidas *καταση̃ν* 719 ff. Suidas *πρωκτὸς λουτροῦ περιγίνῃ ... καὶ Ἀριστοφάνης δύναμαι ποιεῖν* (*ποιῆσαι* V) *τὸν δῆμον εὐρὺν καὶ στενὸν ὑπὸ δεξιότητος τῆς ἐμῆς. Χὠ πρωκτὸς οὗμὸς τουτίγε* (*τί γε* BE) *σοφίζεται* 721 Phaborin. 1669 25 *σοφίζεται τεχνάζεται Ἀριστοφάνης* 723 Moschopul. *περὶ σχεδῶν* p. 26 *ἡ μὲν εἰς ἐπὶ ἐμψύχων λαμβάνεται, ὡς παρ' Ἀριστοφάνει ἴωμεν εἰς τὸν δῆμον*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

νὴ Δί' ὦ πάτερ·
ἔξελθε δῆτ' ὦ Δημίδιον.

ΠΑΦΛΑΓΩΝ

ὦ φίλτατε
ἔξελθ', ἵν' εἰδῇς οἷα περιυβρίζομαι.

ΔΗΜΟΣ

τίνες οἱ βοῶντες; οὐκ ἄπιτ' ἀπὸ τῆς θύρας;
τὴν εἰρεσιώνην μου κατεσπαράξατε.
τίς ὦ Παφλαγὼν ἀδικεῖ σε;

ΠΑΦΛΑΓΩΝ

διὰ σὲ τύπτομαι
ὑπὸ τουτουὶ καὶ τῶν νεανίσκων.

ΔΗΜΟΣ

τιή;

ΠΑΦΛΑΓΩΝ

οτιὴ φιλῶ σ' ὦ Δῆμ' ἐραστής τ' εἰμὶ σός.

ΔΗΜΟΣ

σὺ δ' εἴ τίς ἐτεόν;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἀντεραστὴς τουτουί,
ἐρῶν πάλαι σου βουλόμενός τέ σ' εὖ ποιεῖν,
ἄλλοι τε πολλοὶ καὶ καλοί τε κἀγαθοί.
ἀλλ' οὐχ οἷοίτ' ἐσμὲν διὰ τουτονί, σὺ γὰρ
ὅμοιος εἶ τοῖς παισὶ τοῖς ἐρωμένοις.
τοὺς μὲν καλούς τε κἀγαθοὺς οὐ προσδέχει,
σαυτὸν δὲ λυχνοπώλαισι καὶ νευρορράφοις
καὶ σκυτοτόμοις καὶ βυρσοπώλαισιν δίδως.

---

725 *νὴ Δί' ὦ πάτερ* sagte Kleon vor *Reiske* 726 *δῆτ'*] *δῆτα Brunck δῆτ' ἄν Bothe* (angeblich aus R). *ὦ Δημίδιον φίλτατον.* ΠΑ. *ἔξελθ'* codd. *ὦ Δημίδιόν γε φ. Küster ὦ Δημακίδιον φ.* oder *ὦ φίλτατον Δημίδιον Bentley ὦ Δημίδιον φιλτάτιον d'Orville Δημίδιον ὦ φίλτατον Brunck* ΠΑ. *ὦ Δημίδιον ὦ φίλτατον Elmsley. Δημίδιον.* ΠΑ. *ὦ φίλτατε Cobet* 727 gewöhnlich hinter 729, hier im R. *αἴδῃς* R nach *Bekker. οἷάπερ γ' ὑβρίζομαι* vor *Elmsley οἷάπερ ὑβρίζομαι* RVΓΘΔ (*Bekker* hat im Text die Elmsley'sche Emendation und sagt in der Note: '*γ*' om. RV') *οἷάπερ ἐφυβρίζομαι Reisig* 728

WURSTHÄNDLER.

Ja Väterchen;
komm mal heraus, mein Herzensdemos.

KLEON.

Liebster Freund,
komm, dafs du siehst, wie man mich hier mit Füfsen tritt.

Neunte Scene. Die Vorigen. Demos.

DEMOS (verdriefslich).

Wer sind die Schreier? wollt ihr gleich mir von der Thür?
Habt ihr doch richtig meinen Oelzweig mir zerzaust!
(indem er ihn wieder in Ordnung bringt) Wer kränkt dich, Paphlagonier?

KLEON.

Deinetwegen schlägt
mich der hier und (auf die Ritter zeigend) die jungen Leute.

DEMOS.

Warum das?

KLEON.

Weil ich dich liebe, Demos, und dein Buhle bin.

DEMOS (zum Wursthändler).

Und wer zum Teufel bist du?

WURSTHÄNDLER.

Ein Nebenbuhler von ihm,
der längst dich liebt und darauf brennt, dir wohl zu thun
gleich vielen andern, Ehrenmännern allzumal.
Doch sind vor dem (auf Kleon zeigend) wir's nicht im Stande; gleichst du doch
in diesem Stück den Knaben, die geliebt sich seh'n.
Die Ehrenmänner läfst du nicht an dich heran
und giebst dafür freiwillig Lampenhändlern dich,
Schuhflickern, Lederhändlern, Riemenschneidern preis.

ἀπὸ] *ἐκ* R nach *Dindorf* 1821 und *Bekker*, V nach *Dindorf* 1835. *ἄπιτ'; οὐκ ἀπὸ Elmsley ἄπιτ' ἐκτὸς Bothe* 732 ohne *ι' ΓΘΔ* 733 *τουτονί*] *καὶ τουτονί ΘΔ* 734 *ποεῖν ΘΔ* 735 *καλοί γε Lenting* 736 *οἷοι*] *οἵ* R 738 *προσδέχῃ ΓΘΔ* 739 *λυχνοπώλησιν* schol. *λυχνοπώλησι* vulgo *λυχνοπώλαισι* R. *νευροράφας* R 740 *σκυτοτόμοισι καὶ βυρσοπώλησι ΓΘΔ βυρσοπώλησιν* vulgo *βυρσοπώλαισιν* R *βυρσοπώλαις ἐπιδίδως Cobet*

733 Phaborin. 205 1 *ἀντερασιής*

ΠΑΦΛΑΓΩΝ
εὖ γὰρ ποιῶ τὸν Δῆμον.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ
εἰπέ μοι τί δρῶν.
ΠΑΦΛΑΓΩΝ
ὅτι τῶν στρατηγῶν ὑποδραμὼν τῶν ἐκ Πύλου
πλεύσας ἐκεῖσε τοὺς Λάκωνας ἤγαγον.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ
ἐγὼ δὲ περιπατῶν γ᾽ ἀπ᾽ ἐργαστηρίου
ἕψοντος ἑτέρου τὴν χύτραν ὠφειλόμην.
ΠΑΦΛΑΓΩΝ
καὶ μὴν ποιήσας αὐτίκα μάλ᾽ ἐκκλησίαν
ὦ Δῆμ᾽, ἵν᾽ εἰδῇς ὁπότερος νῷν ἐστί σοι
εὐνούστερος, διάκρινον ἵνα τοῦτον φιλῇς.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ
ναὶ ναὶ διάκρινον δῆτα πλὴν μὴ ᾽ν τῇ πυκνί.
ΔΗΜΟΣ
οὐκ ἂν καθιζοίμην ἐν ἄλλῳ χωρίῳ.
ἀλλ᾽ ἐς τὸ πρόσθε· χρὴ παρεῖν᾽ ἐς τὴν πύκνα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ
οἴμοι κακοδαίμων ὡς ἀπόλωλ᾽. ὁ γὰρ γέρων
οἴκοι μὲν ἀνδρῶν ἐστι δεξιώτατος·
ὅταν δ᾽ ἐπὶ ταυτησὶ κάθηται τῆς πέτρας,
κέχηνεν ὥσπερ ἐμποδίζων ἰσχάδας.

---

741 *ποῶ* RΓΘΔ. *εἰπέ νυν* vulgo *εἰπέ μοι νυν* R *εἰπέ μοι Dindorf* 1821 742 *ὅτι; Elmsley. τὸν στρατηγὸν ... τὸν Aldus τῶν στρατηγῶν ... τῶν* RVACΘ *τῶν στρατηγῶν ... τῶν Γ τῶν ἐκ* auch schol. *τοὺς ἐκ Bentley τοὺς στρατηγοὺς ... τοὺς Brunck. ὑπεκδραμὼν* vulgo *ὑποδραμὼν* RVB var. lect. schol. *ἀποδραμόντων K. Fr. Hermann ὑποτρεμόντων Kock ὑποδραμόντων Meineke* 'inconsulto'. *ἐν Πύλῳ Brunck* 745 *ἑψόντος* R nach *Bekker, ἑψόντος* nach *Dindorf. ὠφελόμην ΘΔ* 746 *ποήσας ΓΘΔ* 747 *οἶδας Bothe* 748 *εὐνούστερον ΘΔ. ἵν᾽ ἐκεῖνον* vulgo *ἵνα τοῦτον* R 749 *πυκνί* vulgo *πυκνῇ* R 750 *καθιζοίμην Bergk* 751 *εἰς τὸ πρόσθε χρῆν* vulgo (*πρόσθ᾽ ἐχρῆν* V schol.) *ὡς τὸ πρόσθε* 'ut ante' *Casaubonus ἐς τὸ πρόσθε. χρῆν Meineke χρὴ* R. *παρεῖναι* schol. *παρεῖναι ᾽ς* V. *πνύκα* vor *Dindorf* (*πύκνα* RV nach *Bekker*) 752—755 Kleon R. 753 *δεξιώτερος ΘΔ* 754 *καθῆται* RV nach *Bekker* 755 *ἐμβροχίζων Kock*

KLEON.

Ich erweis' ihm auch viel gutes.

WURSTHÄNDLER.

Sage mir, womit.

KLEON.

Die Feldherrn, die von Pylos, hieb ich übers Ohr,
ging selbst dorthin und brachte die Lakonen her.

WURSTHÄNDLER.

Und ich stahl aus 'ner Werkstatt beim Spazierengehn
einen Topf mit Essen, den ein Andrer beigesetzt,

KLEON.

So mach doch eine Volksversammlung auf dem Fleck,
Demos, zu sehen, wer von uns wohlmeinender;
entscheide dann, damit du den liebst, der's verdient.

WURSTHÄNDLER.

Ja ja, entscheide; nur nicht, bitt' ich, auf der Pnyx.

DEMOS.

Nicht möcht' ich Sitzung halten je an andrem Ort.
Vorwärts! man soll sich gleich versammeln auf der Pnyx.

Zehnte Scene. Die Vorigen. Ekkyklema. Die Pnyx wird hervorgerollt. Während Demos auf derselben Platz nimmt, spricht der

WURSTHÄNDLER.

Weh mir! jetzt bin ich verloren. Denn der Alte, ganz
gescheidt ist er bei sich zu Haus; doch sitzt er erst
auf diesem Felsen, dann ist sein Verstand dahin,
und stumpf, als zög' er Feigen auf, ist sein Gesicht.

(betritt mit Kleon gleichfalls die Pnyx.)

---

742 Hesych. *ὑποδραμὼν ὑφαρπάσας* (*ὑφερπύσας Meineke*). Zonaras II 1785 *ὑποδραμὼν ὑπελθών* 744 f. paroemiogr. gr. II 376 *ἐγὼ δὲ περιπατῶν γ' ἀπ' ἐργαστηρίου Ἔψαντος ἑτέρου χύτραν ὑφειλόμην Ἀριστοφάνης ἱππεῦσι* 749 Suidas *πυκνί ... πλὴν μὴ 'ν τῇ πυκνί* (*πυκνή* *V *πυκνῇ* V). Phaborin. 1600 44 *πυκνὶ παρὰ Ἀριστοφάνει ἀντὶ τοῦ ἐν ἐκκλησίᾳ* 754 schol. Acharn. 25 *ὅτι δὲ ἐκ λίθων, πανταχόθεν δῆλον, ὅταν λέγῃ ἐπὶ τῆς πέτρας κάθηνται* (cf. 783) 755 Eustath. opusc. p. 291 52 ed. Tafel *καὶ εἰς τοσοῦτον χασμησάμενος ἐκάθητο τοῦ λοιποῦ χαῦνος, εἰκὼν ζῶντος, ἐμποδίζων οἷον ἰσχάδας καὶ αὐτὸς κατὰ τὸν κωμικόν.* Hesych. *ἐμποδίζων ἰσχάδας.* Suidas *ἰσχάς ... καὶ Ἀριστοφάνης κέχηνεν ὥσπερ ἐμποδίζων ἰσχάδας. — κέχηνεν ὥσπερ κτλ. Ἀριστοφάνης*

ΧΟΡΟΣ (στροφή)

νῦν δή σε πάντα δεῖ κάλων ἐξιέναι σεαυτοῦ
καὶ λῆμα θούριον φορεῖν καὶ λόγους ἀφύκτους, 745
ὅτοισι τόνδ' ὑπερβαλεῖ· ποικίλος γὰρ ἀνὴρ
κἀκ τῶν ἀμηχάνων πόρους εὐμήχανος πορίζειν.
πρὸς ταῦθ' ὅπως ἕξει πολὺς καὶ λαμπρὸς ἐς τὸν ἄνδρα.

ἀλλὰ φυλάττου καὶ πρὶν ἐκεῖνον προσκεῖσθαί σοι πρότερον σὺ

τοὺς δελφῖνας μετεωρίζου καὶ τὴν ἄκατον παραβάλλου. 750

ΠΑΦΛΑΓΩΝ

τῇ μὲν δεσποίνῃ Ἀθηναίᾳ τῇ τῆς πόλεως μεδεούσῃ
εὔχομαι, εἰ μὲν περὶ τὸν δῆμον τὸν Ἀθηναίων γεγένημαι

βέλτιστος ἀνὴρ μετὰ Λυσικλέα καὶ Κύνναν καὶ Σαλαβακχώ,

ὥσπερ νυνὶ μηδὲν δράσας δειπνεῖν ἐν τῷ πρυτανείῳ.

εἰ δέ σε μισῶ καὶ μὴ περὶ σοῦ μάχομαι μόνος ἀντιβεβηκώς, 755
ἀπολοίμην καὶ διαπρισθείην κατατμηθείην τε λέπαδνα.

---

756 *δεῖ σε πάντα δή* vulgo *δή σε πάντα δεῖ* R (nach *Dindorf, δή σε π. δὴ* nach *Bekker*) VΓ. der metrische schol. scheint *ἰέναι* gelesen zu haben, denn er nennt die Verse 756—758 einander gleich: *ἐκ στίχων πέντε, ὧν οἱ μὲν τρεῖς ἀσυνάρτητοι κτλ.* 758 *ἀνὴρ* vor *Dawes* 759 *εὐμηχάνους πορίζων* codd., verbessert von *Bentley* 760 *ἔσει* lemma schol., aber *ἐπεξελεύσῃ* im schol. selbst *ῥεύσει Bentley* *ἕξει* RVAC *ἕξεις* B. *ἐς*] *ἐπὶ Cobet* 761 *προσικέσθαι* R *προκεῖσθαι Δ. σου* R. *πρότερος* vulgo *πρότερον* R. *σὺ* fehlt im R 762 *παραβαλοῦ Γ* (*γρ. παράβαλε*) *Δ* 763 *μὲν δεσποίνῃ*] *δεσποίνῃ μὲν Bentley. Ἀθηναίῃ* vulgo *Ἀθηναίᾳ* V. *πόλησ ΘΔ* 764 *εἰ μὲν*] *εἰ Θ. τὸν δῆμον τῶν* R nach *Dindorf* 1821 (V nach *Dindorf* 1835), *τῶν δῆμον τῶν* nach *Bekker* 765 *κύναν ΓΘΔ. Σαλαβάκχαν* vulgo *σαλαβάκχωι* R 767 *μὴ* fehlt im *Δ. ἀντιβεβηκώς* vulgo *ἀντιβεβηκώς* R *ἀντιβεβλημένος Γ* (correctus, deleto etiam *μόνος' Dindorf*) *ἀμφιβεβηκώς Dawes* 768 *κατατμηθείην* R *διατμηθείην* vulgo

756 ff. Suidas *νῦν χρονικὸν ἐπίρρημα. νῦν δεῖ σε πάντα δὴ κάλων ἐξιέναι σεαυτοῦ Καὶ λῆμα θούριον φορεῖν καὶ λόγους* (*λόχους*

CHOR (zum Wursthändler).

Nun gilt es, alle Segel, Freund, des Schiffes beizusetzen;
nun wappne dich mit Schlachtenmuth, Worten unerbittlich,
damit du ihm den Meister zeigst; denn der Mensch ist listig
und weifs aus hoffnungslosem selbst Auswege noch zu finden.
So wirf dich denn mit aller Kraft und Glanz dem Feind entgegen.

Doch mufst du dich hüten und, eh' er dir selbst im Nacken sitzt,
deine Delphine
in der Schwebe schon halten zum kräftigen Schlag und zum Stofse
das Schiff in Bereitschaft.

KLEON.

So helfe die Göttin Athene mir die Beschützerin unseres Staates,
wenn um das athenische Volk ich verdient mich gemacht mit bestem
Bestreben
patriotischen Sinnes wie Lysikles nur, Salabakcho und Kynna die
guten,
auf dafs ich wie jetzt, ob ich gar nichts gethan, auf Staatsunkosten
diniere.
Und lieb' ich dich nicht und kämpfe für dich nicht mutterseelenalleine,
nun so will ich verderben, in Stücke gesägt und zerschnitten werden
in Riemen.

B Med. *λόφους* E) *ἀφύκτους, Ὅτοισι τόνδ' ὑπερβαλῇ· ποικίλος γὰρ ἀνὴρ Κἀκ τῶν ἀμηχάνων πόρους εὐμηχάνους πορίζων* 757 Suidas *λῆμα ... Ἀριστοφάνης ... καὶ αὖθις λῆμα θούριον* 761 f. Suidas *δελφίς ... Ἀριστοφάνης πρὶν* (*πρ*° E) *ἐκεῖνον προσικέσθαι σου πρότερον Τοὺς δελφῖνας μετεωρίζου καὶ τὴν ἄκατον παραβαλοῦ ... τὴν ἄκατον δὲ παραβάλλου* (*παράβαλοῦ* VEC) 762 Eustath. 1221 27 *μνεία δὲ τοιούτου δελφῖνος καὶ τῷ κωμικῷ.* Phaborin. (466 1) 465 46 *δελφὶς ὄργανον ναυτικόν. Ἀριστοφάνης τοὺς δελφῖνας μετεωρίζου* 765 schol. Vesp. 1032 *Κύννα πόρνη. μετὰ Κύνναν* (*Κύναν* V) *καὶ Σαλαβακχώ* (*Σαλαβάκχην Aldus*). Pac. 755 *τῆς δὲ Κύννης μέμνηται καὶ ἐν τοῖς ἱππεῦσι λέγων καὶ Κύνναν καὶ Σαλαβακχώ.* Hesych. (Arkadios 96 22 *κύννα*) Photios (187 20. 497 13) Phaborin. (1128 49 *Κύνα.* 1632 3) *Κύννα. Σαλαβακχώ.* Suidas *Κύννα καὶ Σαλαβακχὼ ὀνόματα θαυμαζομένων παρ' Ἀθήνησιν ἑταιρῶν.* 'schol. Gregor. Naz. in Iulian. p. 64' (angeführt in der englischen Ausgabe von Stephanus thes. linguae gr. unter d. W. *Σαλαβακχώ*) 768 Phaborin. 491 8 *διαπρισθείην.* Suidas *λέπαδνα*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

κἄγωγ᾽ ὦ Δῆμ᾽, εἰ μή σε φιλῶ καὶ μὴ στέργω, κατατμηθεὶς
ἐψοίμην ἐν περικομματίοις· κεἰ μὴ τούτοισι πέποιθας,
ἐπὶ ταυτησὶ κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ
καὶ τῇ κρεάγρᾳ τῶν ὀρχιπέδων ἑλκοίμην ἐς Κεραμεικόν.

ΠΑΦΛΑΓΩΝ

καὶ πῶς ἂν ἐμοῦ μᾶλλόν σε φιλῶν ὦ Δῆμε γένοιτο πολίτης;
ὃς πρῶτα μὲν ἡνίκ᾽ ἐβούλευον σοὶ χρήματα πλεῖστ᾽ ἀπέδειξα
ἐν τῷ κοινῷ τοὺς μὲν στρεβλῶν τοὺς δ᾽ ἄγχων τοὺς δὲ μεταιτῶν,
οὐ φροντίζων τῶν ἰδιωτῶν οὐδενός, εἰ σοὶ χαριοίμην.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

τοῦτο μὲν ὦ Δῆμ᾽ οὐδὲν σεμνόν, κἀγὼ γὰρ τοῦτό σε δράσω·
ἁρπάζων γὰρ τοὺς ἄρτους σοι τοὺς ἀλλοτρίους παραθήσω.
ὡς δ᾽ οὐχὶ φιλεῖ σ᾽ οὐδ᾽ ἔσι᾽ εὔνους, τοῦτ᾽ αὐτό σε πρῶτα διδάξω,
ἀλλ᾽ ἢ διὰ τοῦτ᾽ αὖθ᾽ ὁτιή σου τῆς ἀνθρακιᾶς ἀπολαύει.
σὲ γάρ, ὃς Μήδοισι διεξιφίσω περὶ τῆς χώρας Μαραθῶνι

---

770 *τούτοισιν* schol. 771 *καταμίνησθείην Δ* 772 *ἐσελκοίμην* R (von erster Hand nach *Bekker*) 773 *μᾶλλον σταφιλῶν Δ* 774 *ἐβούλευόν σοι* vulgo *ἐβούλευον, σοὶ Kock* 775 *τοὺς δ᾽ ἄγχων* fehlt im *Δ* 776 *εἰ σοι Brunck. χαριζοίμην* vulgo *χαρισοίμην* bei *Scaliger χαριοίμην* R *χαρισαίμην Porson* 777 *δράσῃ Δ* 780 *ἀπολαύεις Δ διαλαύει Küster* 781 *ἐν Μαραθῶνι* codd. (ohne *ἐν* V nach *Bekker*) *ἐν* tilgte *Bentley περὶ χώρας ἐν Küster*

WURSTHÄNDLER.

Und ich, mein Demos, wenn ich dich nicht auch aufs zärtlichste liebe, zerschnitten
in Kochstücke will ich dir schmoren im Topf; und sollt'st du mir das noch nicht glauben,
nun so will auf dem Tisch ich in Knoblauchsbrei mich zerreiben lassen mit Käse,
ja zum Kerameikos am Hodensack zieh'n mit dem mächtigen Haken des Fleisches.

KLEON.

Wie könnte wohl, Demos, ein Bürger ersteh'n, der an Liebe zu dir mich beschämte?
der ich erstlich als Mitglied des Rathes im Schatz so beträchtliche Summen dir nachwies,
da ich diese gefoltert, die zweiten gewürgt, von den dritten gefordert mit Nachdruck
nicht achtend der einzelnen Leute Verlust, wenn ich dir nur gefällig mich zeigte.

WURSTHÄNDLER.

So was grofses ist das wohl, o Demos, noch nicht; das will ich dir auch schon besorgen:
ich entwende den Leuten ganz munter ihr Brod und setz' es zum Schmause dann dir vor.
Dafs der dich nicht lieb hat und nichts für dich thut, das will ich dir erstens beweisen;
dir dient er nur deshalb ganz sicher, weil so er an deinem Kamine sich wärmet.
Denn sieht er's nicht ruhig mit an, wie du hier steinhart auf der Felsenbank sitzest?

---

771 Etymol. Gudianum 330 50 *κναίω τὸ σημαῖνον τὸ διαφθείρω, ὡς Ἀριστοφάνης ἱππεῦσιν ἐπὶ ταύτης καταχείεσθέ* (*καταχναισθείην Dindorf*) *τε αὐτῷ τὸ μετὰ τυρόν. παραιτητέον δὲ τοὺς γράφοντας καταχνησθείην κτλ.* grammaticus Havniensis in adnotationibus ad Etymol. M. 925 (474 50) *ἐπὶ ταύτης καταχνέεται* 776 Phaborin. 927 3 *Ἀριστοφάνης δὲ λέγει τοὺς ἰδιώτας ἀντὶ τοῦ τοὺς ἰδίους τοὺς πολίτας* 781 Eustath. 1604 50 *διαξιφίζεσθαι τὸ πολεμεῖν, ὡς παρὰ τῷ κωμικῷ, οἷον Μήδοισι διεξιφίσω.* Suidas *διεξιφίσω.* Phaborin. 503 14 *διεξιφίσω τοῖς ξίφεσιν ἐχρήσω*

καὶ νικήσας ἡμῖν μεγάλως ἐγγλωττοτυπεῖν παρέδωκας,

ἐπὶ ταῖσι πέτραις οὐ φροντίζει σκληρῶς σε καθήμενον οὕτως

οὐχ ὥσπερ ἐγὼ ῥαψάμενός σοι τουτὶ φέρω. ἀλλ᾽ ἐπαναίρου

κἄτα καθίζου μαλακῶς, ἵνα μὴ τρίβῃς τὴν ἐν Σαλαμῖνι.

ΔΗΜΟΣ

ἄνθρωπε τίς εἶ; μῶν ἔκγονος εἶ τῶν Ἁρμοδίου τις ἐκείνου;

τοῦτό γέ τοὐστὶν ἀληθῶς τοὔργον γενναῖον καὶ φιλόδημον.

ΠΑΦΛΑΓΩΝ

ὡς ἀπὸ μικρῶν εὔνους αὐτῷ θωπευματίων γεγένησαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

καὶ σὺ γὰρ αὐτὸν πολὺ μικροτέροις τούτων δελεάσμασιν εἵλες.

ΠΑΦΛΑΓΩΝ

καὶ μὴν εἴ πού τις ἀνὴρ ἐφάνη τῷ δήμῳ μᾶλλον ἀμύνων

ἢ μᾶλλον ἐμοῦ σε φιλῶν, ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι.

τυπεῖν

782 εὐγλωττοποιεῖν ΘΔ ἐγγλωττοποιεῖν Γ 783 ταῖς codd. ταῖσι Brunck τῆς πέτρας Bentley ταῖσδε πέτραις oder τῇσδε πέτρας Lenting. φροντίζεις ΘΔ. ohne σε Γ 785 τριβῇς vulgo τρίβῃς schol. (R nach Bekker) 786 ἔγγονος RVA schol. ἔκγονος CB 787 τοῦτό γέ τοι σ᾽ (τ᾽ nach Dindorf 1821) ἀληθῶς αὐτουργον R τοῦτό γέ τοι schol. Ald. τοῦτό σου τοὔργον (τοῦτο τοὔργον nach Meineke) ἀληθῶς V τοῦτό γέ σου τοὔργον ἀληθῶς γενναῖον Aldus (τοῦτό γέ σου τοὔργον ΓΘΔ) τοῦτό γε τοὔργον Portus ὡς τοῦτ᾽ ἐστὶν τοὔργον Bentley τοῦτό γε τοὔργον ἀληθῶς ἔστιν Küster (ἐστὶν Brunck) τοῦτ᾽ αὐτό γέ τοι τοὔργον ἀληθῶς γενναῖον Reisig τοῦτό (τουτί Fiorillo) γέ τοί σου τοὔργον Porson τοῦτό γέ σοι τοὔργον ἀληθῶς ἂν Bothe τοῦτό γέ τοὐστὶν τοὔργον

du, der doch den Medern bei Marathon einst dies Land mit dem Schwerte bestritten
und siegend uns allen es möglich gemacht, von der Sache beständig zu sprechen.
Da sieh mich an! ich hab dir dies Kissen genäht und ich bring's dir. Erheb dich ein wenig
und setze dich hübsch auf das Polster, damit du das Sitzfleisch von Salamis schonest.

(schiebt ihm ein Kissen unter.)

DEMOS.

Mensch, sag mir, wer bist du? du stammst doch nicht ab von Harmodios etwa dem alten?
Du thatest ein Werk, das in Wahrheit grofs, ja das echt volksfreundlich zu nennen.

KLEON (zum Wursthändler).

Durch kleine Gefälligkeit bist du fürwahr zu dem Volksfreund-Namen gekommen.

WURSTHÄNDLER.

Hast du doch den Alten, mein lieber, mit noch viel kleineren Ködern gefangen!

KLEON (zum Demos).

Meinen Kopf zum Pfande, dafs nirgends ein Mann auf der Welt, der mit gröfserem Eifer
sich des Volks annimmt, als ich selbst es gethan, und mit heifserer Inbrunst dich liebet!

Bergk τοῦτό γέ τοι σου ἀληθῶς τοὔργον *Kock* 788 σμικρῶν ΓΘΔ schol. γεγένησε R 789 πολὺ τούτων μικροτέροις ΘΔ. τούτων] τοῦτον R nach *Bekker*. δελεάσμασι συνεῖλες RΓΘΔ 790 ἀμείνων R nach *Bekker*

782 Suidas Zonaras I 605 ἐγγλωττοτυπεῖν 783 ff. Suidas Σαλαμῖνος ... Ἀριστοφάνης ἐπὶ ταῖς πέτραις οὐ φροντίζει (φαντάζει BE) σκληρῶς καθήμενον (καθήμενος E Med.) Οὐχ ὥσπερ ἐγὼ ῥαψάμενός σοι τουτὶ φέρω. ἀλλ' ἐπαναίρου (ἐπανέρου Med.) Κᾆτα καθίζου μαλακῶς, ἵνα μὴ τρίβῃς τὴν ἐν Σαλαμῖνι 791 Suidas περίδου ... Ἀριστοφάνης ... καὶ αὖθις ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι. Phaborin. 1478 48 περιδίδομαι ... Ἀριστοφάνης ἐθέλω περὶ τῆς κτλ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

καὶ πῶς σὺ φιλεῖς, ὃς τοῦτον ὁρῶν οἰκοῦντ᾽ ἐν ταῖς πιθάκναισιν

καὶ γυπαρίοις καὶ πυργιδίοις ἔτος ὄγδοον οὐκ ἐλεαίρεις,

ἀλλὰ καθείρξας αὐτὸν βλίττεις; Ἀρχεπτολέμου δὲ φέροντος

τὴν εἰρήνην ἐξεσκέδασας τὰς πρεσβείας τ᾽ ἀπελαύνεις

ἐκ τῆς πόλεως ῥαθαπυγίζων, αἳ τὰς σπονδὰς προκαλοῦνται.

ΠΑΦΛΑΓΩΝ

ἵνα γ᾽ Ἑλλήνων ἄρξῃ πάντων. ἔστι γὰρ ἐν τοῖς λογίοισιν

ὡς τοῦτον δεῖ ποτ᾽ ἐν Ἀρκαδίᾳ πεντωβόλου ἡλιάσασθαι,

ἢν ἀναμείνῃ. πάντως δ᾽ αὐτὸν θρέψω γὼ καὶ θεραπεύσω

ἐξευρίσκων εὖ καὶ μιαρῶς ὁπόθεν τὸ τριώβολον ἕξει.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

οὐχ ἵνα γ᾽ ἄρξῃ μὰ Δί᾽ Ἀρκαδίας προνοούμενος, ἀλλ᾽ ἵνα μᾶλλον

σὺ μὲν ἁρπάζῃς καὶ δωροδοκῇς παρὰ τῶν πόλεων, ὁ δὲ Δῆμος

---

792 *φιλεῖς ὁρῶν οἰκοῦντα τοῦτον* R. *ταῖσι* vulgo *ταῖς* RAΘ schol. ohne Artikel *Δ*. *πιθάκναις* schol. *φιδάκναισι Brunck* (*οἱ δὲ παλαιοὶ φιδάκνην λέγουσι* schol.) *φιθάκναισι Bothe. πῶς τοῦτον σὺ φιλεῖς, ὃς ὁρῶν οἰκοῦντα μὲν ἐν πιθάκναισι Elmsley* 793 *γυπαρίοις*] *γυργαθίοις* (*καλυβαρίοις?*) *Bentley. ἐλεαίρει Bentley* 796 *αἳ 's Reiske* 797 *πάντων ἄρξει* R 798 *δεῖ*] *δή* R (nach *Bekker*) *ΘΔ. πεντώβολον* codd., verbessert von *Küster. γρ. καὶ ἡλίσασθαι Γ* 799 *θρέψ᾽ ἐγὼ ΓΘΔ* 801 *ἵνα γ᾽*] *ἵν᾽ ΘΔ. ἄρχῃ Dindorf* 1830. *μᾶλλον*] *μόνον* R (*γρ. Γ*) 802 *ἁρπάσῃς* vulgo *ἁρπάζῃς* B (RV nach *Bekker*). *παρὰ πόλεων ΘΔ*

792 f. Suidas *γυπαρίοις* (Zonaras I 460) *Ἀριστοφάνης οἰκοῦντα τοῦτον ἐν πιθάκναις* (*πυθάκναις* C) *Καὶ γυπαρίοις καὶ πυργιδίοις. — πιθάκνη ... παρὰ δὲ Ἀριστοφάνει πιθάκναι οἱ ἔρημοι τόποι* (Phaborin. 1505 57) 793 Hesych. *γύπας ... καὶ γυπάρια τὰ αὐτά.* Phaborin. 441 12 *γυ-*

WURSTHÄNDLER.

Wie kannst du ihn lieben, da acht Jahr schon du mit ansiehst, wie er in Fässern,
Thurmlöchern und Nestern der Geier logiert, und im mindesten nicht dich erbarmest?
Erst sperrt'st du ihn ein, nun zeidelst du ihn; und da Archeptolemos Frieden
uns brachte, verschüttetest du ihn sofort und vertreibst nun stets die Gesandten
mit schmählichem Fufstritt aus unserer Stadt, die gekommen zur Friedensverhandlung.

KLEON.

Ja damit er die Herschaft von Griechenland kriegt! Denn es steht in den alten Orakeln,
dafs dieser dereinst noch im Arkaderland soll richten für fünf Stück Obolen,
wenn er ausharrt. Jetzt pfleg' ich ihn noch selbst und sorge für ihn unablässig
mich mit Fug und mit Unfug bemühend, damit das Triobolon nimmer ihm fehle.

WURSTHÄNDLER.

Das thust du bei Zeus nicht aus Sorge für ihn, dafs Arkadien einst er behersche;
nein rauben willst du nur und plündern für dich, und die Städte, sie sollen dich spicken,

---

παρίοις παρὰ τῷ Ἀριστοφάνει ... 15 *καὶ πυργιδίοις* 794 Suidas *βλίττειν* ... *ἀλλὰ καθείρξας αὐτὸν βλίττεις. οὕτως Ἀριστοφάνης.* Phaborin. 372 19 *βλίττεις ἀμέλγεις παρὰ τῷ Ἀριστοφάνει* 795 f. Eustath. 861 11 *οὗ χρῆσις παρὰ τῷ κωμικῷ ἐν τῷ τὰς πρεσβείας ἀπελαύνεις Ἐκ τῆς πόλεως ῥαθαπυγίζων* (Phaborin. 1612 55) 796 Aristophanes Byzantios fragm. Paris. 18 p. 223 Nauck *σπινθαρίζειν* ... *ῥαθαπυγίζειν δὲ τὸ σιμῷ τῷ ποδὶ τὸν γλουτὸν παίειν* (Pollux 9 126 Phaborin. 1612 59), *ὡς εὕρηται ἐν Ἱππεῦσιν Ἀριστοφάνους.* Hesych. *ῥαθαπυρίζειν* (Photios 480 11). Eustath. 1818 57 *τὸ δὲ τοιοῦτον καὶ ῥαθαπυγίζειν λέγεται παρὰ τῷ κωμικῷ.* Suidas *ῥοθοπυγίζων.* Phaborin. 1613 3 *ῥαθαπυγίζων παρὰ τῷ Ἀριστοφάνει* 798 Suidas *πεντώβολον* (so AV *πεντάβολον* vulgo) *ἡλιάσασθαι*

ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης ἃ πανουργεῖς μὴ καθορᾷ σου,
ἀλλ᾽ ὑπ᾽ ἀνάγκης ἅμα καὶ χρείας καὶ μισθοῦ πρός σε κεχήνῃ.
εἰ δέ ποτ᾽ εἰς ἀγρὸν οὗτος ἀπελθὼν εἰρηναῖος διατρίψει
καὶ χῖδρα φαγὼν ἀναθαρρήσει καὶ στεμφύλῳ ἐς λόγον ἐλθὼν
γνώσεται οἷων ἀγαθῶν αὐτὸν τῇ μισθοφορᾷ παρεκόπτου,
εἶθ᾽ ἥξει σοι δριμὺς ἄγροικος κατὰ σοῦ τὴν ψῆφον ἰχνεύων.
ἃ σὺ γιγνώσκων τόνδ᾽ ἐξαπατᾷς καὶ ὀνειροπολεῖς περὶ σαυτοῦ.

ΠΑΦΛΑΓΩΝ

οὔκουν δεινὸν ταυτί σε λέγειν δῆτ᾽ ἔστ᾽ ἐμὲ καὶ διαβάλλειν
πρὸς Ἀθηναίους καὶ τὸν Δῆμον πεποιηκότα πλείονα χρηστὰ
νὴ τὴν Δήμητρα Θεμιστοκλέους πολλῷ περὶ τὴν πόλιν ἤδη;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ὦ πόλις Ἄργους κλύεθ᾽ οἷα λέγει. σὺ Θεμιστοκλεῖ ἀντιφερίζεις;
ὃς ἐποίησεν τὴν πόλιν ἡμῶν μεστὴν εὐρὼν ἐπιχειλῆ

---

804 *εἰς σὲ* schol. *πρὸς σὲ* vor *Brunck*. *κεχήνει* R nach *Bekker* 805 *ἢν δέ Lenting*. *διατρίψῃ* vulgo *διατρίψει Brunck* 806 *χίδρα ... χύδρα δὲ εἴρηται κτλ.* schol. *χίδρα* vulgo *χῖδρα Dindorf*. *ἀναθαρρήσῃ* vulgo *ἀναθαρρήσει* CΓ. *στεμφύλων* vulgo *τήμπέλῳ Bentley στεμφύλῳ* R (V nach *Bekker*). *ἔλθῃ* vulgo *ἔλθοι* ΛΘΔ *ἔλθει Γ ἐλθὼν Hirschig* 808 *τραχὺς δὲ ψῆφον ἰχνεύων* schol. (*τραχὺς ἄγροικος?*) *ἀγροῖκος Bothe*. *κατά σου Portus*. *ὀχμεύων Reiske* 809 *γινώσκων* R (nach *Bekker*) *ΓΘΔ*. *σεαυτοῦ* vulgo *σαυτοῦ* RV (beide nach *Bekker*) *Γ* 810 *δεινὸν*] *δεινὰ* R. *τουτί Bothe* 811 *πρὸς τὸν δῆμον τὸν Ἀθηναίων Halbertsma* 814 *ἐποίησε Aldus ἐποίησεν* RV (beide nach *Bekker*) ΓΘΔΒ

803 Suidas *ὁμίχλη ... Ἀριστοφάνης ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης ἃ πανουργεῖς μὴ καθορᾶται* (*καθορᾶτε* C von zweiter Hand) 806

und Demos vor Nebel und Waffengeklirr die schändlichen Streiche nicht merken
und er soll dir aus Noth und, weil's anders nicht geht, nachbeten und wegen des Soldes.
Kommt aber er jemals aufs Land noch hinaus, im Frieden der Ruhe zu pflegen,
dafs dort bei Oliven- und Weizengericht er erstarkend mit Schrecken erkennet,
um welch ein behagliches häusliches Glück du mit kläglichem Sold ihn gebracht hast;
dann wird er ein borstiger Bauer dir nah'n und dich selbst mit dem Steinchen verdonnern.
Und weil du das weifst, so betrügst du ihn jetzt und orakelst nur über dich selber.

KLEON.

Ist's nicht zum Entsetzen, dafs solches du mir ins Gesicht sagst, dafs du mich also
bei Athenern und hier bei dem Demos befügst? der ich wahrlich viel mehr doch des guten
bei Demeter selbst als Themistokles that der athenischen Bürgergemeinde!

WURSTHÄNDLER.

O argivisches Volk, hört hört, was er spricht! Mit Themistokles willst du dich messen?
der die Stadt bis zum Ueberflufs satt uns gemacht, die er ärmlich gefunden und hungrig,

---

Phaborin. 166 4 *ἀναθαρρήσῃ θαρσαλεώτερος γένηται* 807 Suidas *μισθοφορά ... Ἀριστοφάνης οἷων ἀγαθῶν τὴν μισθοφορὰν αὐτῶν (αὐτῶν τὴν μισθοφορὰν* *V *αὐτῶν τῇ μισθοφορᾷ* ABV Ox.) *παρεκόπτου* 809 Eustath. 1064 1 *τὸ δὲ γίνωσκε καὶ ἁπλῶς τὸ γινώσκειν οἱ μὲν ὕστερον Ἀττικοὶ μετὰ τοῦ δευτέρου γάμμα γιγνώσκειν φασίν, ὡς καὶ ὁ κωμικὸς δηλοῖ* 813 f. Suidas *ἀντιφερίζεις ἐρίζεις. Θεμιστοκλεῖ ἀντιφερίζεις; (ἀντιφερίζεις σύ;* ACE) *Ὃς ἐποίησε τὴν πόλιν ἡμῶν μεστὴν εὐρὼν ἐπιχειλῆ Ἀριστοφάνης φησίν* 814 Pollux 2 89 *ἐπιχειλῆ δὲ καὶ τὰ ἐπιπόλαια πράγματα Ἀριστοφάνης εἶπεν.* Suidas *ἐπιχειλές ... Ἀριστοφάνης τὴν πόλιν ἡμῶν μεστὴν ἐποίησεν εὑρὼν ἐπιχειλῆ* (Zonaras I 817). Phaborin. 732 2 *ἐπιχειλῆ, τουτέστι χείλη μὴ ἔχουσαν, παρὰ Ἀριστοφάνει. ἄλλως· ἐνδεᾶ κτλ.*

καὶ πρὸς τούτοις ἀριστώσῃ τὸν Πειραιᾶ προσέμαξεν
ἀφελών τ᾽ οὐδὲν τῶν ἀρχαίων ἰχθῦς καινοὺς παρέθηκεν.
σὺ δ᾽ Ἀθηναίους ἐζήτησας μικροπολίτας ἀποφῆναι
διατειχίζων καὶ χρησμῳδῶν ὁ Θεμιστοκλεῖ ἀντιφερίζων.
κἀκεῖνος μὲν φεύγει τὴν γῆν, σὺ δ᾽ Ἀχιλλείων ἀπομάττει.

ΠΑΦΛΑΓΩΝ

οὔκουν ταυτὶ δεινὸν ἀκούειν ὦ Δῆμ᾽ ἐσίν μ᾽ ὑπὸ τούτου,
ὁτιή σε φιλῶ;

ΔΗΜΟΣ

παῦ᾽ ὦ οὗτος καὶ μὴ σκέρβολλε πονηρά.
πολλοῦ δὲ πολὺν με χρόνον καὶ νῦν ἐλελήθης ἐγκρυφιάζων.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

μιαρώτατος ὦ Δημακίδιον καὶ πλεῖστα πανοῦργα δεδρακὼς
ὁπόταν χασμᾷ καὶ τοὺς καυλοὺς
τῶν εὐθυνῶν ἐκκαυλίζων

---

815 προσέμαξε schol. 818 διασχίζων schol. 820 ταυτὶ] ταῦτα R. ohne μ᾽ R. ἐστι *Juntina* II 821 παῦ᾽ οὑτοσὶ codd. παῦ᾽ οὑτωσὶ *Küster* παῦ᾽ ὦ οὗτος *Bentley* παῦσαί γ᾽ οὗτος *Brunck* παῦ παῦ᾽ οὗτος *Elmsley* ὦ (ὦ *Kock*) παῦ᾽ οὗτος *Dindorf* 1821 παῦ᾽ οὗτος καὶ μή μοι *Porson.* σκέρβολε Δ σκερβολεπόνηρα R 822 πολὺν με] πολὺν μὲν R nach *Bekker.* καὶ νῦν fehlt in ΘΔ. ἐλελήθεις vor *Brunck* (ἐλελήθης V nach *Bekker*) 823 ὦ] ὧν *Geel.* πανοῦργος Δ

815 Plutarch. Themistokles 19 Θεμιστοκλῆς δ᾽ οὐχ ὡς Ἀριστοφάνης ὁ κωμικὸς λέγει, τῇ πόλει τὸν Πειραιᾶ προσέμαξεν (ehemals προσέμιξεν), ἀλλὰ κτλ. Suidas προσέμαξε ... Ἀριστοφάνης τὸν Πειραιᾶ προσέμαξε (Phaborin. 1574 54) 819 Erotianos voc. Hippocr. (cf. Galen. 446) 96 Ἀχιλληΐδες (ἀχιλληίδες *Chartier*) κριθῶν εἶδος, ὧν μέμνηται καὶ Ἀριστοφάνης.

und ihr obenein, da sie beim Frühstück safs, auftischte den ganzen Peiraieus;
von den alten Gerichten ihr keines entzog, doch mit Fischen die Tafel vermehrte!
Du aber hast aus den Athenern schon längst Kleinbürger zu machen getrachtet
mit Trennungsmauern und Weissagerei, der sich gleich dem Themistokles stellet.
Und verbannt ward jener, doch du wischst dir mit Achilleskrume die Finger.

KLEON.

Ist's nicht haarsträubend, o Demos, dafs ich mir das sagen mufs lassen von dem da,
nur weil ich dich liebe?

DEMOS.

Schweig still, schweig still mit deinem infamen Gekeife!
Schon zu lange nur hast du so arg mich berückt, und ich Gimpel, ich merkt' es von selbst nicht.

WURSTHÄNDLER. [in Masse,

Ja mein Herzensdemos, er ist ein Cujon; Schandthaten verübt er
wenn du abgespannt gähnst; und vom Rechenschaftskohl
sucht er mit Geschmack sich das leckerste Blatt

Hesych. *Ἀχιλλείων ἱππεῦσιν Ἀριστοφάνης.* Bekker anecd. gr. I 474 *Ἀχιλλείων ἀλφίτων κτλ.* Eustath. 749 11 *εἰ δέ που κατ' ἐξαίρετον Ἀχίλλειαι κριθαὶ λέγονται, ἡρωικῆς ἐκεῖναι ἱπποτροφίας εἰσίν. ἡ δὲ χρῆσις παρὰ τῷ κωμικῷ.* 1445 59 (Phaborin. 131 1) *ἧς Ἀχίλλεια ἐπελέγετο τὰ ἄλφιτα. ὧν μνημονεύειν καὶ τὸν κωμικὸν ἐν ἱππεῦσί φασί τινες.* Suidas *Ἀχιλλείων ... Ἀριστοφάνης Ἀχιλλείων ἀπομάττῃ* (Phaborin. 340 47 *Ἀχιλλείων*) 821 Photios 403 4 *παῦ τὸ παῦσαι λέγουσι μονοσυλλάβως* (Eustath. 1408 26 *ὡς τὸ παῦσαι παῦ ἔλεγον μονοσυλλάβως κατὰ Αἴλιον Διονύσιον*). Eustath. 1012 39 *καὶ ἐκ τοῦ ἐς κέαρ βάλλειν τὸ σκερβόλλειν. κωμικὴ αὕτη λέξις.* Suidas (Phaborin. 1656 28) *σκέρβολλε λοιδόρει. μὴ σκέρβολλε πονηρά* (*πολλά* E) 822 Phaborin. 553 4 *ἐγκρυφιάζων* 824 Suidas *χασμᾷ* 825 Suidas Zonaras I 662 Phaborin. 599 23 *ἐκκαυλίζων*

καταβροχθίζει κἀμφοῖν χειροῖν
μυστιλᾶται τῶν δημοσίων.

ΠΑΦΛΑΓΩΝ

οὐ χαιρήσεις, ἀλλά σε κλέπτονθ' αἱρήσω 'γὼ τρεῖς μυριάδας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

τί θαλατιοκοπεῖς καὶ πλατυγίζεις
μιαρώτατος ὢν περὶ τὸν δῆμον
τὸν Ἀθηναίων; καί σ' ἐπιδείξω
νὴ τὴν Δήμητρ', ἢ μὴ ζώην,
δωροδοκήσαντ' ἐκ Μυτιλήνης
πλεῖν ἢ μνᾶς τετταράκοντα.

ΧΟΡΟΣ (ἀντίστροφος)

ὦ πᾶσιν ἀνθρώποις φανεὶς μέγιστον ὠφέλημα,
ζηλῶ σε τῆς εὐγλωττίας· εἰ γὰρ ὧδ' ἐποίσεις,
μέγιστος Ἑλλήνων ἔσει καὶ μόνος καθέξεις
τἀν τῇ πόλει τῶν ξυμμάχων τ' ἄρξεις ἔχων τριαίναν,
ἢ πολλὰ χρήματ' ἐργάσει σεῖων τε καὶ ταράττων.
καὶ μὴ μεθῇς τὸν ἄνδρ', ἐπειδή σοι λαβὴν δέδωκεν,
κατεργάσει γὰρ ῥᾳδίως πλευρὰς ἔχων τοιαύτας.

ΠΑΦΛΑΓΩΝ

οὐκ ὠγαθοὶ ταῦτ' ἐστί πω ταύτῃ μὰ τὸν Ποσειδῶ.
ἐμοὶ γάρ ἐστ' εἰργασμένον τοιοῦτον ἔργον ὥστε

---

826 *καταβροχθίζῃ Porson.* χεροῖν vulgo *χειροῖν Bentley* (V nach *Bekker*) *γε χεροῖν Lenting* 827 *μυστιλᾶται* RACΓ *μυστιλλᾶται* V nach *Bekker* *μιστυλᾶ τὰ ΘΔ* 831 *περὶ*] *πρὸς* R 832 *τὸν*] *τῶν* R 834 *δωροδοκήσοντ'* R. *Μιτυλήνης* vor *Bothe* 835 *τεσσαράκοντα ΘΔ* τεσσαράκοντα *Γ* 836 das metrische schol. zählt von hier bis 910 lauter gleiche Verse und zwar iambische Tetrameter (Θ katalektische Trimeter). *ἀνθρώποισι* VAIΘ 837 *ἐποίσει Kock* 838 *ἔσῃ ΘΔ* ἔσῃ *Γ. καὶ νῦν μόνος edit. Genevensis* (poetae gr. veteres ... Colon. Allobr. 1614 I) *καθέξῃ ΓΘ* (beide *γρ. καθέξεις*) *Δ* 839 *συμμάχων* RΓΔ schol. 840 *ἐργάσῃ ΓΘΔ* schol. 841 *σοι*] *σὺ* R nach *Bekker* 842 *κατεργάσῃ ΘΔ κατεργάσῃ Γ* 843 *πω*] *ποι* RΔ. *ταύτῃ*] *ταυτὶ* R. *ποσιδῶ* R nach *Bekker* 844 *γὰρ ἔστ' Brunck. ἐργασμένον* R

827 Suidas *μυστιλᾶται.* Phaborin. 1284 41 *μυστιλλᾶται καταπρώγει παρὰ τῷ Ἀριστοφάνει* 829 schol. 834 43 *πρότερος ἐκεῖνός φησιν αὐτὸν δέκα μυριάδας πόλεως κεκλοφέναι* 830 schol. Pac. 92 *μετενήνεκται δὲ*

und schluckt es für sich und löffelt des Staats
Einkünfte bald rechts und bald linker Hand aus.

KLEON (zum Wursthändler).

Freund, nimm dich in Acht! nachweisen will ich,
unterschlagen hast du eine halbe Million.

WURSTHÄNDLER.

Was patschst du ins Meer breitspurig und hohl,
der am Volk von Athen als verräth'rischer Schuft
sich noch immer gezeigt? Ich beweise dir auch
bei Demeter ganz klar — und erdicht' ich ein Wort,
mein Leben zum Pfand! — Mytilene bestach
dich mit vierzig Minen und drüber.

CHOR.

O der für alle Menschen du ein Licht bist aufgegangen,
Heil dir für deinen Redefluſs! denn bei dém Verfahren
wirst du der Griechen mächtigster, du allein wirst herschen
hier in der Stadt und über die Bundsgenossen mit dem Dreizack,
durch den du viel vollbringen wirst mit Schütteln und mit Wühlen.
Und laſs den Kerl nicht los, da er die Blöſse dir gegeben;
bei diesem Mundwerk wirst du jetzt ganz sicher mit ihm fertig.

KLEON.

Ihr irrt euch, beste, nein so steht's noch nicht, nein bei Poseidon!
Hab' ich doch eine That vollbracht von einem Glanz, der wahrlich

---

ἡ λέξις παρὰ τὸ τί θαλασσοκοπεῖς καὶ πτερυγίζεις; Bekker anecd. gr. I 42 θαλαττοκοπεῖν. Photios 79 6 (Suidas Zonaras I 1024) θαλαττοκοπεῖς ματαιολογεῖς. 432 21 πλατυγίζει τοῖς πτεροῖς κρούει. Suidas μετεωροκοπεῖς ... καὶ ἀλλαχοῦ θαλαττοκοπεῖς καὶ πτερυγίζεις. — πλατυγίζει (Phaborin. 1514 15) τοῖς πτεροῖς κρούει. πλατυγίζῃ καὶ θαλαττοκοπεῖς. Phaborin. 880 20 θαλαττοκοπεῖς παρὰ τῷ Ἀριστοφάνει κεῖται ἀντὶ τοῦ ταράττῃ 834 f. Suidas (cf. Zonaras I 590) δωροδοκήσαντα ... δωροδοκήσαντ' ἐκ Μιτυλήνης Πλεῖν ἢ μνᾶς ἕξ 837 Suidas ζηλῶ μακαρίζω Ἀριστοφάνης ... καὶ πάλιν ζηλῶ σε τῆς εὐγλωττίας 839 f. schol. 843 ὅτι καὶ τριαίνης ἀκούσας εἰπόντων τῶν ἱππέων καὶ σείων καὶ ταράττων τὸν Ποσειδῶνα ὕμνουσιν 842 Phaborin. 1017 3 κατεργάσει ῥᾳδίως παρὰ τῷ Ἀριστοφάνει 844 ff. Suidas ἐμοὶ δὲ τοιοῦτον ἔργον ἔστ' εἰργασμένον ὥστε Ἁπαξάπαντας τοὺς ἐμοὺς ἐχθροὺς ἐπιστομίζειν Ἕως ἂν ᾖ τῶν ἀσπίδων τῶν ἐκ Πύλου τι λοιπόν

ἀπαξάπαντας τοὺς ἐμοὺς ἐχθροὺς ἐπιστομίζειν
ἕως ἂν ᾖ τῶν ἀσπίδων τῶν ἐκ Πύλου τι λοιπόν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἐπίσχες ἐν ταῖς ἀσπίσιν, λαβὴν γὰρ ἐνδέδωκας.
οὐ γάρ σ' ἐχρῆν, εἴπερ φιλεῖς τὸν Δῆμον, ἐκ προνοίας
ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι.
ἀλλ' ἐστὶ τοῦτ' ὦ Δῆμε μηχάνημ', ἵν' ἢν σὺ βούλῃ
τὸν ἄνδρα κολάσαι τουτονὶ σοὶ τοῦτο μὴ 'γγένηται.
ὁρᾷς γὰρ αὐτῷ στῖφος οἷόν ἐστι βυρσοπωλῶν
νεανιῶν, τούτους δὲ περιοικοῦσι μελιτοπῶλαι
καὶ τυροπῶλαι. τοῦτο δ' εἰς ἓν ἐστι συγκεκυφὸς
ὥστ' εἰ σὺ βριμήσαιο καὶ βλέψειας ὀστρακίνδα
νύκτωρ κατασπάσαντες ἂν τὰς ἀσπίδας θέοντες
τὰς ἐσβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν ἡμῶν.

ΔΗΜΟΣ

οἴμοι τάλας ἔχουσι γὰρ πόρπακας; ὦ πονηρὲ
ὅσον με παρεκόπτου χρόνον τοιαῦτα κρουσιδημῶν.

ΠΑΦΛΑΓΩΝ

ὦ δαιμόνιε μὴ τοῦ λέγοντος ἴσθι μηδ' οἰηθῇς
ἐμοῦ ποθ' εὑρήσειν φίλον βελτίον', ὅστις εἷς ὢν
ἔπαυσα τοὺς ξυνωμότας καί μ' οὐ λέληθεν οὐδὲν
ἐν τῇ πόλει ξυνιστάμενον, ἀλλ' εὐθέως κέκραγα.

---

845 ἅπαξ ἅπαντας R 846 ᾖ τι τῶν ΓΘΔ 847 ἀσπίσι ΓΘΔ 848 σε χρῆν R 849 αὐτοῖς πόρπαξιν VΔ. πόρπαξι schol. 850 ἔστι RV nach *Bekker*. μηχάνημα R nach *Bekker*. τοῦτο μηχάνημ', ὦ Δῆμ', ἵν' *Reisig*. βούλει R nach *Bekker* 851 'γγένηται R 853 περιογκοῦσι *Geel* περικυκλοῦσι *Bergk* περιβομβοῦσι *Meineke* 856 καθαρπάσαντες vulgo κατασπάσαντες R 857 κατ' ἂν λάβοιεν *Lenting* 858 πόνηρε vor *Brunck* 859 με fehlt im R nach *Bekker* 861 εὑρεῖν ΘΔ 862 συνωμότας *Aldus* ξυνωμότας RVA 863 συνιστάμενον *Aldus* ξυνιστάμενον RVΓΘΔ schol.

845 Phaborin. 714 29 ἐπιστομίζειν κατασιγάζειν ... παρὰ τῷ Ἀριστοφάνει 847 Eustath. 1327 3 καὶ ἐκαλεῖτο λαβὴ καθὸ καὶ παρὰ τῷ κωμικῷ εἴρηται τὸ λαβὴν ἐνδέδωκας. 848 f. Suidas πόρπαξ ... οὐ γάρ σ' ἐχρῆν, εἴπερ φιλεῖς τὸν Δῆμον, ἐκ προνοίας Ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι 850 Suidas μηχάνημα στρατήγημα. ἀλλ' ἔστι τοῦτο ὦ Δῆμε μηχάνημα 852 ff. Photios 539 7 Bachmann

um meinen Feinden allzumal den Mund zu stopfen hinreicht,
so lange von den Schilden noch aus Pylos eine Spur ist.

WURSTHÄNDLER.

Verweilen bei den Schilden wir! hier kann ich gut dich fassen.
Wenn wirklich du den Demos liebst, dann mufstest du sie damals
nicht samt den Griffen, liebster Freund, aufhängen so absichtlich.
Das ist, o Demos, eine List, damit, wenn's dir mal einfällt,
den Menschen zu bestrafen, dir das hübsch versalzen werde.
Du siehst doch, welche rüst'ge Schaar von Lederhändlerburschen
zu Dienst ihm steht; und diese sind Nachbarn der Honighändler
und Käsekrämer, und all dies Volk steckt unter einer Decke;
so dafs, wenn einmal du ergrimmst und siehst nach Scherbenspiel aus,
sie Nachts zusammenlaufen und die Schild' herab sich holen,
zum Brotmarkt uns aufrührerisch den Eingang zu versperren.

DEMOS.

Ich armer! Griffe sind daran? Abscheulicher Verräther,
wie lange Zeit hast du mich so scheinheilig hintergangen!

KLEON.

O Thor, glaub doch nicht jedem Wort und denke nicht, dafs jemals
du einen bessern Freund bekommst als mich, der ganz allein dir
zu Paaren die Verschwörer trieb, der auch das kleinste Zeichen
von Aufruhr auf dem Fleck bemerkt und gleich zu schreien anhebt.

---

anecd. gr. I 371 Suidas Phaborin. 1684 28 *στῖφος*. Suidas *συγκεκυφὸς συνελθὸν Ἀριστοφάνης ... ὁρᾷς γὰρ αὐτῷ* (*αὐτῶν* E Med.) *στῖφος οἷόν ἐστι βυρσοπωλῶν Νεανιῶν, τούτους δὲ περιοικοῦσι μελιτοπῶλαι Καὶ τυροπῶλαι* (*μελιτοπῶλαι τυροπῶλαι* *V Med.) 854 Suidas *συγκεκυφός ... τοῦτο δ' εἰς ἕν ἐστι συγκεκυφός* 855 ff. Suidas *βριμήσαιο ὀργισθείης* (Zonaras I 409). *ὥστ' εἰ σὺ βριμήσαιο ὀστρακίνδα Νύκτωρ καταspάσαντες ἂν τὰς ἀσπίδας Τὰς εἰσβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν.* Etymol. M. 402 39 *Ἀριστοφάνης, φησί, τὸ ὀστρακίνδα παρὰ τὸ ὄστρακον ἀνέπλασεν.* Eustath. 1161 42 *καὶ ἡ παιδιὰ ὀστρακίνδα ἐκαλεῖτο* (Pollux 9 110). *χρῆσις τῆς λέξεως ἐν τῇ κωμῳδίᾳ πρὸς αἴνιγμα τοῦ ῥηθέντος ἐξοστρακισμοῦ.* Phaborin. 1387 48 *ὀστρακίνδα ὄνομα παιδιᾶς παρὰ τῷ Ἀριστοφάνει* 857 Suidas *εἰσβολάς ... εἰσβολὰς δὲ ἀλφίτων κτλ.* Phaborin. 585 23 *καὶ εἰσβολαὶ ἀλφίτων τὰ σιτοφυλάκια αἱ ἀποθῆκαι* 859 Photios 181 1 Suidas Phaborin. 1116 19 *χρουσιδημῶν* 860 Suidas *μὴ τοῦ λέγοντος ἴσθι*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.
ὅταν μὲν ἡ λίμνη κατασιῇ, λαμβάνουσιν οὐδέν·
ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν,
αἱροῦσι. καὶ σὺ λαμβάνεις ἣν τὴν πόλιν ταράττῃς.
ἔν δ' εἰπέ μοι τοσουτονί· σκύτη τοσαῦτα πωλῶν
ἔδωκας ἤδη τουτῳὶ κάττυμα παρὰ σεαυτοῦ
ταῖς ἐμβάσιν φάσκων φιλεῖν;

ΔΗΜΟΣ

οὐ δῆτα μὰ τὸν Ἀπόλλω.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἔγνωκας οὖν δῆτ' αὐτὸν οἷός ἐστιν; ἀλλ' ἐγώ σοι
ζεῦγος πριάμενος ἐμβάδων τουτὶ φορεῖν δίδωμι.

ΔΗΜΟΣ

κρίνω σ' ὅσων ἐγῷδα περὶ τὸν δῆμον ἄνδρ' ἄριστον
εὐνούστατόν τε τῇ πόλει καὶ τοῖσι δακτύλοισιν.

ὰς ὺς
864 *τοὺς ἐγχέλεις* Γ 865 *ὅτ' ἂν* Γ *οἵ γ' ἂν Bentley* 867 *αἵρουσιν* R nach *Bekker* *αἱροῦσιν* V (nach *Bekker*) A *αἵρουσι Aldus* *αἱροῦσι Juntina* I 869 *τουτωίγε Aldus* *τουτῳὶ Bentley* *τοῦτο* ΑΘΔ *τούτων* C (deleta ab eadem manu littera *ν' Dindorf*) *τωδείγε* B *τούτῳ* Γ *κάττυμα τούτωι* R 870 *ἐμβάσι Aldus* *ἐμβάσιν* RV (beide nach *Bekker*) B 871 *ἐσιν. Brunck* 872 *ἐμβάδοιν Dindorf.* *τουτὶ*] *τούτων* Γ 873 *σ'* fehlt im R. *ὅσον γ'* vulgo (R nach *Dindorf* 1821 V nach *Bekker*) *ὅσων γ' Bentley* *ὅσον* RV (nach *Dindorf* 1837) ΓΘΔ *ὅσων Dindorf.* *ὅντ' ἄριστον* vulgo *ἄνδρ' ἄ.* R 874 *καὶ*] *γὰρ Aldus.* *καὶ τοῖσι*] *κἀμοῖσι Bothe.* *δακτύλοισι* schol.

864 ff. schol. Nub. 559 *παρόσον ἐν τοῖς ἱππεῦσιν ἐμνήσθη τῶν ἐγχέλεων· ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.* Athenaios 7 299 B *Ἀριστοφάνης ἱππεῦσιν ὥσπερ γὰρ οἱ τὰς ἐγχέλεις κτλ.* C *ὅταν δ' Ἀριστοφάνης ἐν ἱππεῦσι λέγῃ ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας. Ὅταν μὲν* (*ὅταν γὰρ* BP) *ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν* (*οὐδεέν* BP)· *Ἐὰν* (*ἂν* BP) *δ' ἄνω τε* (*δὲ* B *ἄνω καὶ* P) *καὶ κάτω τὸν βόρβορον κυκῶσιν, Αἱροῦσι. καὶ σὺ λαμβάνεις, ἣν τὴν πόλιν ταράττῃς, σαφῶς δηλοῖ κτλ.* Hesych. *εἰκοὺς εἰκόνας ... Ἀριστοφάνης ... ἐν γὰρ ἱππεῦσί φησιν ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις κτλ.* Etymol. M. 312 50 *Ἀριστοφάνης ἱππεῦσιν ὅπερ* (*ὥσπερ* D) *γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι*

WURSTHÄNDLER.

Ja wohl, du machst es grade wie ein Mensch, der Aalen nachstellt.
So lang des Sumpfes Wasser still steht, fängt er nicht die Probe;
doch wenn aus Leibeskräften er den Schlamm recht gründlich aufrührt,
gelingt es ihm. So fängst du auch, wenn in der Stadt du wühlest.
Doch sag mir eine Kleinigkeit. So grofse Massen Leder
verkaufst du; hast du wohl einmal dem Manne hier (auf den Demos
zu Schuh'n geschenkt? Du sagst, du liebst ihn! [zeigend) ein Stückchen

DEMOS.

Nein bei Apollon, niemals.

WURSTHÄNDLER (zum Demos).

Siehst du nun wohl, wes Geistes Kind er ist? Ich hab dagegen
dir dies Paar Schuhe neu gekauft und geb sie dir zu eigen.

DEMOS.

Ich muſs gesteh'n, du zeigest dich als gröfsten Freund des Volkes,
ausnehmend für die Stadt besorgt und meiner Zehen Wohlsein.

πέπονθας (*πεπόνθασιν* D). *Ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν* (*οὐδὲ ἕν* D)· *Ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν* (*ἀνακυκῶσιν* D), *Αἱροῦσι* (*ἀναιροῦσιν* D). Etymol. Gudianum 158 48 *Ἀριστοφάνης ἱππεῦσιν ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθασ'. Ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν· Ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κινοῦσιν, Αἵρουσι. καὶ σὺ λαμβάνεις, ἣν πόλιν ταράττῃς.* Eustath. 1240 19 *πρὸς ἀκολουθίαν τοῦ πῆχυς πήχεως, οἷον ... ὥσπερ οἱ τὰς ἐγχέλεις θηρώμενοι. ταῦτα δὴ τὰ τοῦ κωμικοῦ.* Suidas *ἐγχέλεις* (*ἐγχέλυς* E) *θηρώμενος ἐπὶ τῶν διὰ κέρδος ἴδιον ταραχὰς ποιούντων. ὅταν γὰρ τὸ ὕδωρ καταστῇ, οὐδὲν λαμβάνουσιν· ὅτε δὲ ἄνω καὶ κάτω τὸ ὕδωρ ταράξουσιν, αἱροῦσι καὶ* (*ταράξωσι καὶ κινήσωσι,* Phaborin. 555 15) *λαμβάνουσιν. οὕτω καὶ οὗτοι ταράττοντες τὴν πόλιν.* Zonaras I 601 (Mingarelli catalog. codicum in bibl. Naniana 492) *ἔγχελυς ... Ἀριστοφάνης ὥσπερ οἱ τὰς ἐγχέλεις κτλ.* grammaticus Hermanni 321 *τὰς μέντοι πληθυντικὰς οὐχ οὕτως, ἀλλὰ διὰ τοῦ ε. φησὶ γὰρ ἐν ἱππεῦσιν ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις κτλ.* Cramer anecd. Paris. IIII 26 *ὥσπερ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπομφας* 865 Eustath. 1240 17 *ἐκ τοῦ κατὰ τὰς ἐγχέλεις λόγου, ὃς ἐν τοῖς ὑπτεῦσι κεῖται ἐν τῷ ὅταν γὰρ ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν*

ΠΑΦΛΑΓΩΝ

οὐ δεινὸν οὖν δῆτ᾽ ἐμβάδας τοσουτονὶ δύνασθαι,
ἐμοῦ δὲ μὴ μνείαν ἔχειν ὅσων πέπονθας; ὅστις
ἔπαυσα τοὺς βινουμένους τὸν Γρύττον ἐξαλείψας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

οὔκουν σε δῆτα ταῦτα δεινόν ἐστι πρωκτοτηρεῖν
παῦσαί τε τοὺς βινουμένους; κοὐκ ἔσθ᾽ ὅπως ἐκείνους
οὐχὶ φθονῶν ἔπαυσας, ἵνα μὴ ῥήτορες γένοιντο·
τονδὶ δ᾽ ὁρῶν ἄνευ χιτῶνος ὄντα τηλικοῦτον
οὐπώποτ᾽ ἀμφιμασχάλου τὸν Δῆμον ἠξίωσας
χειμῶνος ὄντος. ἀλλ᾽ ἐγώ σοι τουτονὶ δίδωμι.

ΔΗΜΟΣ

τοιουτονὶ Θεμιστοκλῆς οὐπώποτ᾽ ἐπενόησεν.
καίτοι σοφὸν κἀκεῖν᾽ ὁ Πειραιεύς· ἔμοιγε μέντοι
οὐ μεῖζον εἶναι φαίνετ᾽ ἐξεύρημα τοῦ χιτῶνος.

ΠΑΦΛΑΓΩΝ

οἴμοι τάλας οἵοις πιθηκισμοῖς με περιελαύνεις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

οὐκ ἀλλ᾽ ὅπερ πίνων ἀνὴρ πέπονθ᾽ ὅταν χεσείῃ,
τοῖσιν τρόποις τοῖς σοῖσιν ὥσπερ βλαυτίοισι χρῶμαι.

ΠΑΦΛΑΓΩΝ

ἀλλ᾽ οὐχ ὑπερβαλεῖ με θωπείαις, ἐγὼ γὰρ αὐτὸν
πρασαμφιῶ τοδί· σὺ δ᾽ οἴμωζ᾽ ὦ πονήρ᾽.

---

875 *οὖν* fehlt im *Δ*. *τοσουτοὶ Bentley* 877 *κινουμένους Aldus βινουμένους* RVAC (letzterer von zweiter Hand nach *Brunck*, von erster nach *Dindorf*) *Δ βινουμένους* (*γρ. κ*) *Θ*. *γρυπὸν Bergk* 878 *δῆτα* fehlt in RVΓΘΔ *σε ταῦτα δεινόν ἐστι δεινὰ* oder *σε δεινὸν ταῦτα δεινόν ἐστι Bergk* 879 *κινουμένους* R *βινουμένους* VCΘΔ 880 *γένωνται* vulgo (auch V nach *Bekker*) *γένοιντο* R 881 *τοῦτον* vulgo *τονδὶ* RVAΓΘΔ. *δ᾽ ὁρῶν*] *διορῶν* AΔ. *τηλικουτονὶ* RV *τηλικοῦτον edit. Basil.* 1532 884 *Θεμιστοκλείης Dindorf* 1825. *οὐδέποτ᾽ Γ* (*γρ. οὐπώποτ᾽*) *ΘΔ* 885 *σοφὸς Toup. γε μέντοι*] *γρ. ὅμως γε Γ* 886 *φαίνεται* schol. 887 *παρελαύνεις* A var. lect. schol. 888 *χέζῃ Θ* (*γρ. χεσείῃ*) *Δ* 889 *τοῖσι Aldus τοῖσιν* (RV nach *Bekker*) *Brunck. βλαυτίοισι* RV. *χρώμενος* V 890 *ὑπερβαλεῖς Aldus ὑπερβαλῇ Γ* 891 *τεδί Δ*. *πόνηρε. αἰβοῖ* vulgo *ὦ πόνῳ πόνηρε* (*αἰβοῖ* aufserhalb des Verses) *Bentley ὢν πόνηρος. αἰβοῖ Bothe πόνηρ᾽* R *πονήρ᾽*. *ἰαιβοῖ Dindorf*

877 Suidas *βινεῖν ... Ἀριστοφάνης ἔπαυσα τοὺς βινουμένους τὸν*

KLEON (zum Demos).

Ist's nicht zu arg, dafs ein Paar Schuh bei dir so viel bedeutet,
und gar nicht dessen du gedenkst, was ich gethan? Hab' ich doch
die Freudenknaben abgeschafft, des Gryttos Namen streichend.

WURSTHÄNDLER (zu Kleon).

Ist's nicht zu arg, dafs also du die Steifse controliert hast
und die Freudenknaben abgeschafft? ('s war nur der Neid, der dazu
dich angetrieben hat, damit sie keine Redner würden;)
und Demos hier, den alten Mann, hast ohne Rock du gehen
geseh'n und hast ihn niemals doch mit einem Aermelkleide
zur Winterszeit beschenkt, wie ich (zum Demos) dir jetzo dies verehre.

DEMOS.

Auf dén Gedanken ist selbst nicht Themistokles gekommen.
Gleichwohl war sein Peiraieus auch was schlaues; aber gröfser
war die Erfindung doch wohl nicht, scheint mir, als die des Rockes.

KLEON.

Verwünscht! mit welcher Affenlist umgarnst du mich, Canaille!

WURSTHÄNDLER.

Ich mach' es blofs wie einer, den's beim Zechgelage kackert;
ich fahr' in deine Maske wie in fremde Filzpariser.

KLEON. [auch ich will

Du stichst mich doch nicht aus, mein Freund, mit Kriechen; denn
ihn jetzt bekleiden; packe du nur immer ein!

(will dem Demos einen Mantel umhängen.)

Γρίπον ἐξαλείψας. — *Γρύττος* (*Γρύττος καὶ Γρύπον* AB *γρύττος καὶ γρύττον* E) ... *οἱ δὲ Γρύπος* (*Γρύπον* ABVCE) *λέγουσι ... Ἀριστοφάνης ἔπαυσα τοὺς βινουμένους τὸν Γρύπον ἐξαλείψας* 878 Suidas Phaborin. 1591 28. 31 *πρωκτοτηρεῖν* 882 Moiris p. 64 *ἀμφιμάσχαλος χιτὼν ἀττικῶς.* Suidas (cf. Zonaras I 144) *ἀμφιμάσχαλος ... Ἀριστοφάνης οὐπώποτ' ἀμφιμασχάλου τὸν Δῆμον* (*τὸν δ'* oder *τόνδ'* ABE Med.) *ἠξίωσας.* Phaborin. 155 46 *ἀμφιμασχάλου* 884 Suidas *τοιουτονὶ Θεμιστοκλῆς οὐπώποτ' ἐπενόησεν Ἀριστοφάνης* 887 Suidas *πιθηκισμοῖς περιελαύνεις.* Phabor. 1506 5 *πιθηκισμοῖς ... παρὰ τῷ Ἀριστοφάνει* 888 f. Suidas *βλαυτίοις σανδαλίοις. Ἀριστοφάνης ὅπερ πίνων ἀνὴρ πέπονθ' ὅταν χεσείῃ, Τοῖς τρόποισι τοῖς σοῖσιν ὥσπερ βλαυτίοις χρήσομαι.* — *χεσείω ... ὅπερ πίνων ἀνὴρ πέπονθ' ὅταν χεσείῃ, Τοῖσι τρόποις σοῖσιν* (*τρόποισι τοῖς σοῖς* ACE *τοῖσι τρόποισι τοῖς σοῖς* Med.) *ὥσπερ βλαυτίοις* (*βαλαντίοις* C) *χρήσομαι.* Phaborin. 370 10 *βλαυτία* 891 Suidas Phaborin. 1573 2 *προσαμφιῶ*

ΔΗΜΟΣ

ἰαιβοῖ
οὐκ ἐς κόρακας ἀποφθερεῖ βύρσης κάκιστον ὄζων;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

καὶ τοῦτό γ᾽ ἐπίτηδές σε περιήμπεσχ᾽ ἵνα σ᾽ ἀποπνίξῃ.
καὶ πρότερον ἐπεβούλευσέ σοι· τὸν καυλὸν οἶσθ᾽ ἐκεῖνον
τοῦ σιλφίου τὸν ἄξιον γενόμενον;

ΔΗΜΟΣ

οἶδα μέντοι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἐπίτηδες οὗτος αὐτὸν ἔσπευδ᾽ ἄξιον γενέσθαι,
ἵν᾽ ἐσθίοιτ᾽ ὠνούμενοι κἄπειτ᾽ ἐν ἡλιαίᾳ
βδέοντες ἀλλήλους ἀποκτείνειαν οἱ δικασταί.

ΔΗΜΟΣ

νὴ τὸν Ποσειδῶ καὶ πρὸς ἐμὲ τοῦτ᾽ εἶπ᾽ ἀνὴρ κόπρειος.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

οὐ γὰρ τόθ᾽ ὑμεῖς βδεόμενοι δήπου ᾽γένεσθε πυρροί;

ΔΗΜΟΣ

καὶ νὴ Δί᾽ ἦν γε τοῦτο Πυρράνδρου τὸ μηχάνημα.

ΠΑΦΛΑΓΩΝ

οἵοισι μ᾽ ὦ πανοῦργε βωμολοχεύμασιν ταράττεις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἦ γὰρ θεός μ᾽ ἐκέλευε νικῆσαί σ᾽ ἀλαζονείᾳ.

---

892 *κόρας Aldus κόρακας* (RV nach *Bekker*) *Portus. ὄζον Lenting ἀποφθερεῖ; ... ὄζει Kock* 893 *τοῦτ᾽* codd. *τοῦτό γ᾽ Bentley τοῦτό σ Bergk. περιήμπεσχεν* R *περιήμπισχεν* VCΓΘΔ *περιήμπισχέν γ᾽* B *περιήμπισχ᾽ Aldus περιήμπεσχ᾽ Meineke. ἵνα σ᾽* R *ἵνα* V (nach *Bekker*) *ἵν᾽* V (nach *Dindorf*) CΓΘΔ. *ἐπίτηδές γε περιήμπισχε, σ᾽ ἵν Bergk* 895 *τὸν σιλφίου Bentley* vielleicht *τὸν σιλφίου ποτ᾽* 896 *ἔσπευσεν* R *ἔσπευσ᾽ Bergk ἔσπαδ᾽ Δ* 897 *ἐσθίητ᾽* RΓΘΔ 899 *τουτί γ᾽* B *τοῦτ᾽* RΛΘΔ *τοῦτό γ᾽* V (nach *Bekker*) CΓ *τότ᾽ Geel Ποσειδῶ πρὸς ἐμὲ τοῦτό γ᾽ εἶπ᾽ ἀνὴρ Salmasius. εἶπεν* ΘΔB. *ἀνὴρ*] *ἀνήρ τις ΘΔ. κόπριος* vulgo *κόπρις* (*γρ. ιος*) Θ *κόπρειος Brunck κοπρεῖος* R *Κόπρειος Böckh εἶπε κόπριος ἀνὴρ Küster τοῦτό γ᾽ ἀνὴρ κόπριος εἶπεν Ducker πρὸς ἐμὲ τοῦτ᾽ ἀνὴρ Κοπρεαῖος εἶπε Bentley* 900 *πυροί Θ. βδεόμενοι γίνεσθε πυροί Δ* 901 sagt gewöhnlich der Wursthändler, Demos in RVA. *καὶ τοῦτο Aldus γε τοῦτο* R (‘ut videtur’ *Dindorf*) *γε καὶ τοῦτο*

DEMOS.

Pfui Teufel!
scher dich zum Henker, Kerl; du stinkst nach Leder ganz abscheulich.

WURSTHÄNDLER.

Das hatt' er gut sich ausgedacht; er wollte dich ersticken.
Schon früher wollt' er einmal dir ans Leben; du besinnst dich,
wie hier das Zeug, das Silphion so billig wurde?

DEMOS.

Freilich.

WURSTHÄNDLER.

Sein wohlbedachtes Werk war das, so billig es zu machen,
damit ihr alle kauftet und von äfset, und die Richter
sich gegenseitig durch Gestank umbrächten in der Halle.

DEMOS.

Ja bei Poseidon, das hab' ich schon gehört von einem Mistkerl.

WURSTHÄNDLER.

Nicht wahr, da lieft ihr röthlich an, indem ihr euch bepuptet?

DEMOS.

Ja ja, ganz recht, das war bei Gott die Hinterlist des Rotherts.

KLEON.

Mit was für Pöbelhaftigkeit mir der Halunke zusetzt!

WURSTHÄNDLER.

Hat mich die Göttin doch erweckt, mit Frechheit dich zu schlagen!

VACΓΘΔ *γε κάρτα G. Hermann. πυράνδρου ΘΔ* 902 *πόνηρε* vulgo *πονηρέ Brunck πανοῦργε* R *πανοῦργε* (*γρ. πόνηρε*) *Γ πόνηρε* (*γρ. πανοῦργε*) *Θ. βωμολοχεύμασι* R (nach *Bekker*) *ΓΘΔ* schol. 903 *ἦ γὰρ Küster. ἀλαζονείας* R *ἀλαζονείαις Dindorf* 1837

894 f. Photios 512 3 *σίλφιον πᾶν τὸ ξηρὸν καὶ κοῦφον λέγουσιν· τοιοῦτος γὰρ ὁ τοῦ σιλφίου καυλός. οὕτως Ἀριστοφάνης.* Suidas *ἄξιον ... καυλὸν σιλφίου τὸν ἄξιον.* paroemiogr. gr. II 690 *τὸν καυλὸν οἶσθ' ἐκεῖνον Τοῦ σιλφίου τὸν ἄξιον γενόμενον Ἀριστοφάνης ἱππεῦσι* 899 Suidas *ἀνὴρ κόπριος* 901 Suidas Phaborin. 1603 56 *Πυράνδρου μηχανήματα* 902 Suidas *βωμολοχεύμασι πανουργεύμασι.* Phaborin. 396 36 *βωμολοχεύμασι κολακεύμασι.* 39 *βωμολοχεύματα παρ' Ἀριστοφάνει*

ΠΑΦΛΑΓΩΝ

ἀλλ᾽ οὐχὶ νικήσεις. ἐγὼ γάρ φημί σοι παρέξειν
ὦ Δῆμε μηδὲν δρῶντι μισθοῦ τρύβλιον ῥοφῆσαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἐγὼ δὲ κυλίχνιόν γέ σοι καὶ φάρμακον δίδωμι
τὰν τοῖσιν ἀντικνημίοις ἑλκύδρια περιαλείφειν.

ΠΑΦΛΑΓΩΝ

ἐγὼ δὲ τὰς πολιάς γέ σοὐκλέγων νέον ποιήσω.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἰδοὺ δέχου κέρκον λαγὼ τῶφθαλμιδίῳ περιψῆν.

ΠΑΦΛΑΓΩΝ

ἀπομυξάμενος ὦ Δῆμέ μου πρὸς τὴν κεφαλὴν ἀποψῶ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἐμοῦ μὲν οὖν.

ΠΑΦΛΑΓΩΝ

ἐμοῦ μὲν οὖν.
ἐγώ σε ποιήσω τριη-
ραρχεῖν παλαιὰν ναῦν ἔχοντ᾽,
εἰς ἣν ἀναλῶν οὐκ ἐφέ-
ξεις οὐδὲ ναυπηγούμενος·
διαμηχανήσομαί θ᾽ ὅπως
ἂν ἱστίον σαπρὸν λάβῃς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἀνὴρ παφλάζει, παῦε παῦ᾽,

---

εἰ μὴ φανερῶς ἡμῶν ὑπερεῖχε τὴν χύτραν;

ΠΑΦΛΑΓΩΝ

τουτὶ τέμαχός σοὔδωκεν ἡ φοβεσιστράτη.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἡ δ᾽ ὀβριμοπάτρα γ᾽ ἐφθὸν ἐκ ζωμοῦ κρέας
καὶ χόλικος ἠνύστρου τε καὶ γαστρὸς τόμον.

1165 *ἀλλ᾽ οὐ τράπεζαν* noch Kleon vor *Portus* 1168 *μεμιστυλημένας Δ. γε μεμυστιλημένας Cobet δέ γε μυστίλας μεμ. Meineke* 1171 *γε* fehlt im R nach *Bekker. πίσυνον ΓΘΔ* 1172 *τ᾽ αὖ ἡ πύλας μάχος Δ δ᾽ αὐτὴ Hotibius* 1173 ohne *σ᾽* vor *Portus* 1175 *οἰκεῖσθαι ἂν Elmsley* 1177 *τουτὶ*] *τουτὶ τὸ* V nach *Bekker. σοι δῶκεν* (R nach *Bekker*) oder *σοι ᾽δωκεν* codd. *σοι ᾽δωκεν Brunck σοὔδωκεν Reisig. φοβεστράτη* schol. 1178 *ὀμβριμοπάτρα* vulgo *ὀβριμοπάτρα* RVAΓΔ. *γ᾽* fehlt im V

1165 Eustath. 1215 14 *διπλῆς δὲ συγκρίσεως παράδειγμα κωμικὸν μέντοι καὶ τὸ προτεραίτερος.* Phaborin. 1585 31 *προτεραίτερος* 1166

KLEON (kommt mit einem Stuhl).

Siehst du? ich bring zuerst dir einen Stuhl heraus.

WURSTHÄNDLER (desgleichen mit einem Tisch).

Aber keinen Tisch, denn den bring' ich zuerster dir.

KLEON.

Hier sieh! dies Brötchen hab' ich für dich mitgebracht,
das aus heil'ger Gerste von Pylos ich mir backen liefs.

WURSTHÄNDLER.

Die Brotlöffel ich, die von der Göttin allerhöchst-
selbst ausgehöhlt sind mit der Hand von Elfenbein.

DEMOS (der sich auf den Stuhl vor den Tisch gesetzt hat).

Du hast 'n tücht'gen Finger, Herrin, das ist wahr!

KLEON.

Und ich hier diesen schönen gelben Erbsenbrei;
Pallas die Pylos-Streiterin hat ihn eingerührt.

WURSTHÄNDLER.

Demos, du bist der Göttin Schofskind offenbar;
so hält sie jetzt den Suppentopf dir über'm Haupt.

DEMOS.

Glaubst du etwa, noch stände diese Stadt, wenn sie
nicht sichtlich unser Haupt beschützte mit dem Topf?

KLEON.

Dies Fischgericht reicht dir die Heerzerstreuerin.

WURSTHÄNDLER.

Und des mächt'gen Vaters Tochter dieses Suppenfleisch
mit dieser Schüssel Kaldaunen und dem Lungenmus.

Phaborin. 1203 58 *μαζίσκην* 1167 Suidas *ὀλαί*. Phaborin. 1349 11 *Ἀριστοφάνης ἐκ τῶν ὀλῶν* 1168 Suidas *μυστιλᾶται ... καὶ μεμυστιλημένας* 1174 Phaborin. 1799 31 *Ἀριστοφάνης καὶ νῦν ὑπερέχει σου χύτραν ζωμοῦ πλέαν* 1177 Suidas *φοβεσιστράτη*. cf. Etymol. M. 797 54 *φοβέστρατος Ἀθηνᾶ*. Zonaras II 1818 *φοβέστρα* 1178 f. Athenaios 3 94C *τῶν ἐδωδίμων κοιλιῶν μνημονεύει Ἀριστοφάνης ἐν ἱππεῦσι ... καὶ πάλιν ... ἡ δ' ὀβριμοπάτρα* (*ὀβριμοπάτραν* B) *γ' ἔφθὸν ἐκ ζωμοῦ κρέας Καὶ χόλικος ἠνύστρου τε καὶ γαστρὸς τόμον*

ΔΗΜΟΣ

καλῶς γ᾽ ἐποίησε τοῦ πέπλου μεμνημένη.

ΠΑΦΛΑΓΩΝ

ἡ γοργολόφα σ᾽ ἐκέλευε τουτουὶ φαγεῖν
ἐλατῆρος, ἵνα τὰς ναῦς ἐλαύνωμεν καλῶς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

λαβὲ καὶ ταδί νυν.

ΔΗΜΟΣ

καὶ τί τούτοις χρήσομαι
τοῖς ἐντέροις;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἐπίτηδες αὖτ᾽ ἔπεμψέ σοι
ἐς τὰς τριήρεις ἐντερόνειαν ἡ Θεός,
ἐπισκοπεῖ γὰρ περιφανῶς τὸ ναυτικόν.
ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο.

ΔΗΜΟΣ

ὡς ἡδὺς ὦ Ζεῦ καὶ τὰ τρία φέρων καλῶς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἡ Τριτογενὴς γὰρ αὐτὸν ἐνετριτώνισεν.

ΠΑΦΛΑΓΩΝ

λαβέ νυν πλακοῦντος πίονος παρ᾽ ἐμοῦ τόμον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

παρ᾽ ἐμοῦ δ᾽ ὅλον γε τὸν πλακοῦντα τουτονί.

1180 von zweiter Hand zugeschrieben im V (nach *Bekker*) 1181 f. Wursthändler *Juntina* I 1181 *ἐκέλευσε* V 1182 *ἐλαύνοιμεν* V *ἐλαύνωμεν Γ* 1183 *ταδὶ νῦν* vor *Dindorf* 1185 *ἐντερονείαν* schol. (RV nach *Bekker*) 1187 *κἀκπιεῖν* V. *πιεῖν καὶ τρία καὶ δύο κεκραμένον ΓΘΔ* 1189 *Τριτογένει᾽ ἄρ᾽ Cobet* 1190 *λαβὲ νῦν* vor *Dindorf*

1181 Suidas *γοργολόφας ἡ ἐκ τῆς κεφαλῆς τῆς Γοργοῦς τὴν περικεφαλαίαν ἔχουσα, ἡ Ἀθηνᾶ.* Phaborin. 431 51 *γοργολόφασα* 1182 Eustath. 877 34 (Phaborin. 613 18) *ὁ δέ γε κωμικὸς καὶ τι πέμματος εἶδος οἶδε τὸν ἐλατῆρα, ὡς ἐν τοῖς ἱππεῦσι δηλοῖ αἰνιττόμενος ἐκεῖ δύνασθαι τὴν λέξιν καὶ ἐπὶ κωπηλάτου λέγεσθαι* (vgl. 1163 41 Acharn. 246) 1184 f. Suidas (vgl. Zonaras I 732) *ἐντερόνεια ... οὗ (οὕτω Küster) δὲ τὴν ἐντεριώνην Ἀριστοφά-*

DEMOS.

Da thut sie wohl dran, dafs des Peplos sie gedenkt.

KLEON.

Die Schreckbehelmte heifst von dém Aufläufer dich
genieſsen, dafs der Schiffe Lauf befördert wird.

WURSTHÄNDLER.

Nimm auch noch dieses!

DEMOS.

Aber sag, was soll ich denn
mit den Gedärmen machen?

WURSTHÄNDLER.

Diese schicket dir
mit Vorbedacht die Göttin für der Schiffe Bauch,
denn uns'rer Flotte nimmt sie sich ganz sichtlich an.
(indem er ihm Wein reicht) Da nimm und trinke! drei und zwei ist er [gemischt.

DEMOS.

O Zeus, wie herrlich! der verträgt die drei nicht schlecht.

WURSTHÄNDLER.

Der Triton-entspross'nen dankst das dritte Fünftel du.

KLEON.

Von mir empfange dies Stück fette Pastete jetzt.

WURSTHÄNDLER.

Und diese ganze Pastete kriegst du, Herr, von mir.

νης φησίν ... φησὶ δὲ ὁ κωμικὸς ὅτι εἰς τὰς τριήρεις ἡ (ohne ἡ A) *θεὸς* (ὁ *θεὸς* BE) *ἐντερόνειαν ἔπεμψε* 1185 Pollux 2 212 (vgl. Hesych.) *ἐντερόνειαν* (*ἐντεριονίδα* vor *Leopardus*) *δὲ τὰ καλούμενα ἐγκοίλια τῶν νεῶν Ἀριστοφάνης ὠνόμασεν* 1187 Photios 599 19 *τρία καὶ δύο ἐπὶ τῆς κράσεως τοῦ οἴνου. Ἀριστοφάνης ἱππεῦσιν ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο.* Eustath. 1624 43 *Ἀριστοφάνης ἔχε πιεῖν κτλ.* Suidas *κεκραμένον ... ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο* (*δύω* A). — *πόμα ... Ἀριστοφάνης ἔχε πιεῖν κεκραμένον τρία καὶ δύο* (*β' καὶ γ'* V) 1189 Eustath. 504 25 *Τριτογένεια καὶ κατὰ τὸν κωμικὸν Τριτογενής.* Suidas *κεκραμένον ... ἡ Τριτογενὴς γὰρ αὐτὸν ἐνετριτώνισε* (*ἐνετριτάνισε* BE). — *πόμα ... Ἀριστοφάνης ... ἡ Τριτογενὴς αὐτὸν ἐνετριτώνισε*

ΠΑΦΛΑΓΩΝ

ἀλλ᾽ οὐ λαγῷ᾽ ἕξεις ὁπόθεν δῷς, ἀλλ᾽ ἐγώ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

οἴμοι πόθεν λαγῷά μοι γενήσεται;
ὦ θυμὲ νυνὶ βωμολόχον ἔξευρέ τι.

ΠΑΦΛΑΓΩΝ

ὁρᾷς τάδ᾽ ὦ κακόδαιμον;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ὀλίγον μοι μέλει,
ἐκεινοὶ γὰρ ὡς ἔμ᾽ ἔρχονται.

ΠΑΦΛΑΓΩΝ

τίνες;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

πρέσβεις ἔχοντες ἀργυρίου βαλλάντια.

ΠΑΦΛΑΓΩΝ

ποῦ ποῦ;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

τί δὲ σοὶ τοῦτ ; οὐκ ἐάσεις τοὺς ξένους;

ὦ Δημίδιον ὁρᾷς τὰ λαγῷ᾽, ἃ σοι φέρω;

ΠΑΦΛΑΓΩΝ

οἴμοι τάλας ἀδίκως γε τἄμ᾽ ὑφήρπασας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

νὴ τὸν Ποσειδῶ καὶ σὺ γὰρ τοὺς ἐκ Πύλου.

ΠΑΦΛΑΓΩΝ

ἐγὼ δ᾽ ἐκινδύνευσ᾽.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἐγὼ δ᾽ ὤπτησά γε.

1192 f. 1199 *λαγῶ᾽* (*λαγῶα*) vor *Dindorf* (*λαγῷ᾽ λαγῷα* RV nach *Bekker*) 1195 *τόδ᾽ ΓΔ τόδ᾽ Θ. μέλει ταῦτα ΓΘ* 1196 *ἀλλὰ γὰρ ἐκεῖνοί γ᾽ ὡς* vulgo *ἐκεῖνοι γὰρ ὡς* RVΓΘΔ *ἐκεινοὶ Elmsley. ἔρχονταί τινες* var. lect. schol. 1197 *βαλάντια* (*Aldus*) V nach *Bekker* *βαλλάντια* RΓΘΔ 1198 *δέ σοι* vulgo *δὲ σοὶ Kock* 1200 *τὰ ᾽μ᾽* vor *Brunck. ὑφαρπάσας Len-*

KLEON (zum Wursthändler).

Aber Hasenbraten hast du nicht, hab' ich allein.

WURSTHÄNDLER.

O weh! wo nehm' ich Hasenbraten denn nun her?
Mein Geist, jetzt denk dir was recht abgefeimtes aus!

KLEON.

Siehst du, elender?

WURSTHÄNDLER.

Daraus mach' ich mir nicht viel.
Ein Paar Gesandte seh' ich in der Ferne —

KLEON.

Was?

WURSTHÄNDLER.

auf mich zukommen, Beutel mit Geld in ihrer Hand.

KLEON.

Wo, wo?

WURSTHÄNDLER.

Was geht das dich an? lafs die Fremden doch!
(während Kleon zur Seite blickt, entwendet er ihm den Braten.)
Mein Demos, sieh den Hasenbraten, von mir gebracht!

KLEON.

Verwünscht! entwendet hast du mir mein Eigenthum.

WURSTHÄNDLER.

Ja bei Poseidon, in Pylos macht'st du's ebenso.

KLEON.

Mein war das Wagstück.

WURSTHÄNDLER.

Mein die Müh des Bratens auch.

---

ting 1204 *ἐκινδύνευσα* R nach *Bekker* *ἐκνηγέτησ' Reiske.* den ganzen Vers giebt *Bothe* dem Kleon *ἐγὼ δ' ἐκινδύνευσ'* Wursthändler, das übrige Kleon bei *Lenting*; der Vers gehört offenbar nach 1201

1194 Eustath. 9 42 *λέγει δέ που καὶ ὁ κωμικὸς ὦ θυμὲ βωμολόχον τι ἔξευρε*

ΔΗΜΟΣ

εἶπ᾽ ἀντιβολῶ πῶς ἐπενόησας ἁρπάσαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

τὸ μὲν νόημα τῆς θεοῦ, τὸ δὲ κλέμμ᾽ ἐμόν.

ΔΗΜΟΣ

ἄπιθ᾽, οὐ γὰρ ἀλλὰ τοῦ παραθέντος ἡ χάρις.

ΠΑΦΛΑΓΩΝ

οἴμοι κακοδαίμων ὑπεραναιδισθήσομαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

τί οὐ διακρίνεις Δῆμ᾽ ὁπότερός ἐστι νῷν
ἀνὴρ ἀμείνων περὶ σὲ καὶ τὴν γαστέρα;

ΔΗΜΟΣ

τῷ δῆτ᾽ ἂν ὑμᾶς χρησάμενος τεκμηρίῳ
δόξαιμι κρίνειν τοῖς θεαταῖσιν σοφῶς;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἐγὼ φράσω σοι. τὴν ἐμὴν κίστην ἰὼν
ξύλλαβε σιωπῇ καὶ βασάνισον ἅττ᾽ ἔνι
καὶ τὴν Παφλαγόνος κἀμέλει κρινεῖς καλῶς.

ΔΗΜΟΣ

φέρ᾽ ἴδω τί οὖν ἔνεστιν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

οὐχ ὁρᾷς κενὴν
ὦ παππίδιον; ἅπαντα γάρ σοι παρεφόρουν.

ΔΗΜΟΣ

αὕτη μὲν ἡ κίστη τὰ τοῦ δήμου φρονεῖ.

1202 Kleon *Juntina* I. *εἶπ᾽ Dindorf* 1821 nach 1203 eine Lücke bei *Bergk* 1205 *γάρ, ἀλλὰ* vor *Bentley* 1206 *ὑπεραναιδεσθήσομαι* codd. *ὑπεραναιδευθήσομαι Elmsley* 1207 *οὐ*] *οὖν Reiske. Δῆμ᾽*] *δῆθ᾽ Kock* 1210 *θεαταῖσι ΘΔ* 1211 *τὴν τ᾽ ἐμὴν Meineke* 1214 *ἐστ᾽* vulgo *ἔνεστιν* RVAΘΔ *ἔστιν* C *ἔνεστ᾽* (*γρ. ἔστιν*) *Γ. ἀλλά γ᾽ οὐχ* vulgo *οὐχ* R *ἀλλ᾽ οὐχ* VACΓΘ *ἀλλ᾽ ὁρᾷς Brunck* 1215 *διχῶς. ἅπαντα γάρ σοι πᾶιδιον παρεφόρουν* schol. V (scheint gelesen zu haben: *οὐχ ὁρᾷς κενήν; Ἅπαντα γάρ σοί γ᾽ ὦ* oder *σοὶγὼ παιρίδιον παρεφόρουν*) *γρ. ἅπαντα γάρ σοι πατρίδιον παρεφόρουν Γ*

DEMOS (zum Wursthändler).

Sag mir um alles, wie du auf dén Einfall kamst?

WURSTHÄNDLER.

Der Einfall ist der Göttin, doch der Raub ist mein.

DEMOS (zu Kleon).

Fort, pack dich! denn der Dank gebührt dem Geber nur.

KLEON.

Gott steh mir bei! der überunverschämt mich noch.

WURSTHÄNDLER.

Warum, o Demos, schiebst du noch das Urtheil auf,
wer von uns beiden deinem Magen besser dient?

DEMOS.

Mit welchem Beweise tret' ich vor das Publicum,
dafs ich wirklich über euch gerechten Spruch gefällt?

WURSTHÄNDLER.

Ich will's dir sagen. Komm und untersuche still
hier meinen Kober, ob er etwas noch enthält,
und den des Paphlagoniers; dann urtheilst du gut.

DEMOS.

Lafs seh'n, was drin ist.

WURSTHÄNDLER (zeigt ihm seinen Behälter).

Wie du siehest, ist er leer,
mein Alterchen; den ganzen Inhalt gab ich dir.

DEMOS.

Der Kober hier ist für das Volk, gesinnungstreu.

1203 Suidas *νόημα ἐφεύρεμα. τὸ μὲν* (*δὲ* VOx.) *νόημα τῆς θεοῦ, τὸ κλέμμ' ἐμόν. — τὸ μὲν* (*δὲ* V) *νόημα τῆς θεοῦ, τὸ δὲ κλέμμ' ἐμόν* (paroemiogr. gr. I 374 II 688 *τοῦ θεοῦ*) 1205 Suidas *ἄπιθ' οὐ γὰρ ἀντὶ τοῦ καὶ γάρ. — οὐ γάρ μοὐστιν ... Ἀριστοφάνης ... ἐν ἱππεῦσιν ἄπιθ', οὐ γὰρ ἀλλὰ τοῦ παραθέντος ἡ χάρις* 1206 Bekker anecd. gr. I 80 30 *ἀναιδίζεσθαι Ἀριστοφάνης ἱππεῦσιν.* Suidas *ὑπεραναιδεσθήσομαι*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

βάδιζε γοῦν καὶ δεῦρο πρὸς τὴν Παφλαγόνος.
ὁρᾷς τάδ᾽;

ΔΗΜΟΣ

οἴμοι τῶν ἀγαθῶν ὅσων πλέα.
ὅσον τὸ χρῆμα τοῦ πλακοῦντος ἀπέθετο,
ἐμοὶ δ᾽ ἔδωκεν ἀποτεμὼν τυννουτονί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

τοιαῦτα μέντοι καὶ πρότερόν σ᾽ εἰργάζετο.
σοὶ μὲν προσεδίδου μικρὸν ὧν ἐλάμβανεν,
αὐτὸς δ᾽ ἑαυτῷ παρετίθει τὰ μείζονα.

ΔΗΜΟΣ

ὦ μιαρὲ κλέπτων δή με ταῦτ᾽ ἐξηπάτας;
ἐγὼ δέ τυ ἐστεφάνιξα κἀδωρησάμαν.

ΠΑΦΛΑΓΩΝ

ἐγὼ δ᾽ ἔκλεπτον ἐπ᾽ ἀγαθῷ γε τῇ πόλει.

ΔΗΜΟΣ

κατάθου ταχέως τὸν στέφανον, ἵν᾽ ἐγὼ τουτῳὶ
αὐτὸν περιθῶ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

κατάθου ταχέως μασιγία.

ΠΑΦΛΑΓΩΝ

οὐ δῆτ᾽, ἐπεί μοι χρησμός ἐστι πυθικὸς
φράζων ὑφ᾽ οὗ ᾽δέησέ μ᾽ ἡττᾶσθαι μόνου.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

τοὐμόν γε φράζων ὄνομα καὶ λίαν σαφῶς.

1217 *βάδιζε γοῦν* codd. *δ᾽ οὖν Sauppe βάδιζέ νυν Cobet* 1218 *ὁρᾷς νυν*; ΔΗ. *οἴμοι* vulgo *νυν* fehlt in RVΓΘΔ *ὁρᾷς νιν*; *Bothe ὁρᾷς τάδ᾽*; *Elmsley ὁρᾷς*; ΔΗ. *ἰώ μοι Dindorf* 1830. *ὅσον* vulgo *ὅσων* RV (beide nach *Bekker*) ACΘB 1220 *τυνουτονί Aldus τυννουτονί* RV (beide nach *Bekker*) ACB *γρ. καὶ τεννουτοί Γ* 1221 *πρότερον εἰργάζετο* vulgo *πρότερόν σ᾽ ἠργάζετο* R *σ᾽ εἰργάζετο Θ* 1222 *μικρὸν* R *σμικρὸν* V (beides nach *Bekker*) 1224 *ἐξηπάτησας* V nach *Bekker* 1225 *δέ τοι* RΘ (*γρ. τυ*) *Δ* (*τοὔ Γ*) *δέ τ᾽*

WURSTHÄNDLER.

Nun sieh dir den des Paphlagoniers auch drauf an.
Wie steht's?

DEMOS.

O was für Herrlichkeiten seh' ich da!
Was für ein Stück Pastete er bei Seit gebracht!
und mir gab er das winzig kleine bischen nur.

WURSTHÄNDLER.

Und so hat er auch früher schon dir mitgespielt.
Dir theilt' er nur spottwenig mit von seinem Raub,
für sich behielt das gröfste Stück er stets zurück.

DEMOS (zu Kleon).

So also stahlst du hinter meinem Rücken, Schuft?
und ich beschenkte reichlich und bekränzte dich.

KLEON.

Hab' ich gestohlen, stahl ich für den Staat doch nur.

DEMOS.

Sogleich legst du den Kranz ab! diesem (auf den Wursthändler deutend) [will ich ihn aufsetzen.

WURSTHÄNDLER.

Lege gleich ihn ab, verruchter Sklav!

KLEON.

Nein, denn ich hab' ein pythisches Orakel, das
mir sagt, durch wen ich einzig fallen soll dereinst.

WURSTHÄNDLER.

Und das dir sicher meinen Namen klärlich nennt.

Elmsley. *κἀδωρησάμην* vulgo *κἀδωρησάμαν* V *κἀδωρυξάμαν Dindorf* 1837 1227 *τουτωὶ* vor *Dindorf* 1230 *δεήσει μ' ἡττᾶσθαι* vulgo *δεήσειν* ΑΔ *'δέησέ μ' Bentley δέησέ μ' Fiorillo ὑφ' οὗ δεήσει δῆτά μ'* (ohne *φράζων*) oder *φράζων ὑφ' οὗ δεήσ' ἔμ' Ducker με δεῖ ποθ' Brunck με δεήσει Reiske χρεὼν ἔμ' Dindorf με χρή 'στιν Dindorf δὴ ἔξεστί μ' Bergk δεήσειέ μ' Bergk δῆτ' ἔστι μ' Meineke χρῆσταί με νικᾶσθαι Meineke*

1225 Eustath. 125 45 *ὅμοιον καὶ τὸ ἐστεφάνιξα κἀδωρησάμην*

ΠΑΦΛΑΓΩΝ

καὶ μήν σ᾽ ἐλέγξαι βούλομαι τεκμηρίῳ,
εἴ τι ξυνοίσεις τοῦ θεοῦ τοῖς θεσφάτοις.
καί σου τοσοῦτο πρῶτον ἐκπειράσομαι·
παῖς ὢν ἐφοίτας ἐς τίνος διδασκάλου;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἐν ταῖσιν εὔστραις κονδύλοις ἡρμοττόμην.

ΠΑΦΛΑΓΩΝ

πῶς εἶπας; ὡς μοὐ χρησμὸς ἅπτεται φρενῶν.
εἶεν.
ἐν παιδοτρίβου δὲ τίνα πάλην ἐμάνθανες;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

κλέπτων ἐπιορκεῖν καὶ βλέπειν ἐναντία.

ΠΑΦΛΑΓΩΝ

ὦ Φοῖβ᾽ Ἄπολλον λύκιε τί ποτέ μ᾽ ἐργάσει;
τέχνην δὲ τίνα ποτ᾽ εἶχες ἐξανδρούμενος;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἠλλαντοπώλουν καί τι καὶ βινεσκόμην.

ΠΑΦΛΑΓΩΝ

οἴμοι κακοδαίμων οὐκέτ᾽ οὐδέν εἰμ᾽ ἐγώ·
λεπτή τις ἐλπίς ἐστ᾽, ἐφ᾽ ἧς ὀχούμεθα.
καί μοι τοσοῦτον εἰπέ· πότερον ἐν ἀγορᾷ
ἠλλαντοπώλεις ἑτεὸν ἢ ᾽πὶ ταῖς πύλαις;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἐπὶ ταῖς πύλαισιν, οὗ τὸ τάριχος ὤνιον.

1232 *ἐλλέγξαι* R nach *Bekker* 1235 *ἔς τινος* B 1236 *εὔστραις* vulgo *εὕστραις Kock* 1237 *μου* vulgo *᾽μοὐ* V nach *Bekker*, *᾽μοῦ* nach *Dindorf μοὐ Bekker μοὐ Dindorf* 1238 *εἶεν* fehlt in RΘ. *πάλιν* R nach *Bekker πάλην Γ* 1239 *κλέπτειν* vulgo *κλέπτων* RV (nach *Bekker*) CB. *ἐναντίον* vulgo *ἐναντία* R 1240 *λύκιε* fehlt im R. *ποτ᾽ ἔμ᾽ Brunck. ἐργάσῃ ΓΘΔ* 1242 *ἠλλαντοπώλουν*. ΠΑ. *καὶ τί*; ΑΛ. codd. *ἠλλαντοπώλουν καὶ* ΠΑ. *τί*; ΑΛ. *Schäfer* den ganzen Vers legt in der angegebenen Art *Meineke* dem Wursthändler bei. *κἀβινεσκόμην* V nach *Bekker* (derselbe *καὶ ᾽βινεσκόμην*) 1246 *ἠλλαντοπώλης* R nach *Bekker*

KLEON.

Ich ergründ' es gleich durch Fragen ganz unzweifelhaft,
ob dies Orakel des Gottes auf dich pafst, ob nicht.
Hör' an, was ich zuerst von dir erfahren will.
Bei welchem Lehrer gingst zur Schule du als Kind?

WURSTHÄNDLER.

Bei Katzenköpfen im Bullenwinkel wuchs ich auf.

KLEON.

Was sagst du? (für sich) Das Orakel macht den Kopf mir warm.
(laut) Gut denn.
Doch was hast du beim Turnen wohl zumeist geübt?

WURSTHÄNDLER.

Meineid, wenn ich gestohlen, jedem ins Gesicht.

KLEON.

Gott Lykiens, Phoibos Apollon, was ersinnst du mir? —
Und Mann geworden übtest welche Kunst du aus?

WURSTHÄNDLER.

Ich verkaufte Würste, liefs mich auch f— hier und da.

KLEON.

Ich unglücksel'ger! mit mir ist's aus, ich bin dahin;
ein Strohhalm nur von Hoffnung ist's noch, der uns trägt.
Noch dieses eine sag mir: hast du auf dem Markt
mit Würsten gestanden oder an den Thoren gar?

WURSTHÄNDLER.

An den Thoren, wo die gesalz'nen Fische billig sind.

1236 Eustath. 1286 20 *ὅτι δὲ ἐκ τοῦ ἐνταῦθα κειμένου εὖειν παρῆκται καὶ εὖστρα ἡ τῶν συῶν φλογίστρα, δηλοῖ καὶ ἡ κωμῳδία.* 1446 21 *καὶ γίνεται ἀπ' αὐτοῦ καὶ ἡ εὖστρα, ὡς δηλοῖ καὶ ὁ κωμικός.* Suidas (Zonaras I 912) *εὖστρα ... Ἀριστοφάνης ἐν ταῖσιν εὔστραις κονδύλοις ἠρμοττόμην* (*ἠρμοττόμενος* V). — *ἠρμοττόμην ἐπαιδευόμην. Ἀριστοφάνης ἐν ταῖσιν εὔστραις* (*εὔστροις* V) *κονδύλοις ἠρμοττόμην* 1241 Zonaras I 766 Phaborin. 671 31 *ἐξανδρούμενος τὴν ἡλικίαν ἔχων εἰς ἄνδρα* 1244 Phrynichos bei Bekker anecd. I 49 27 *λεπτή τις ἐλπίς, ἐφ' ἧς ὀχούμεθα.* Suidas (paroemiogr. gr. II 501) *λεπτή τις ἐλπίς ἐστ', ἐφ' ἧς ὀχούμεθα* 1247 Phaborin. 1893 9 *Ἀριστοφάνης οὗ τὸ τάριχος ὤνιον*

ΠΑΦΛΑΓΩΝ

οἵμοι πέπρακται τοῦ θεοῦ τὸ θέσφατον.
κυλίνδετ᾽ εἴσω τόνδε τὸν δυσδαίμονα.
ὦ στέφανε χαίρων ἄπιθι, κἄν σ᾽ ἄκων ἐγὼ
λείπω· σὲ δ᾽ ἄλλος τις λαβὼν κεκτήσεται
κλέπτης μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ᾽ ἴσως.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

ἑλλάνιε Ζεῦ σὸν τὸ νικητήριον.

ΧΟΡΟΣ

ὦ χαῖρε καλλίνικε καὶ μέμνησ᾽ ὅτι
ἀνὴρ γεγένησαι δι᾽ ἐμέ. καί σ᾽ αἰτῶ βραχὺ
ὅπως ἔσομαί σοι Φᾶνος ὑπογραφεὺς δικῶν.

ΔΗΜΟΣ

ἐμοὶ δέ γ᾽ ὅ τι σοι τοὔνομ᾽ εἶπ᾽;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ

Ἀγοράκριτος,
ἐν ταὐγορᾷ γὰρ κρινόμενος ἐβοσκόμην.

ΔΗΜΟΣ

Ἀγορακρίτῳ τοίνυν ἐμαυτὸν ἐπιτρέπω
καὶ τὸν Παφλαγόνα παραδίδωμι τουτονί.

ΑΓΟΡΑΚΡΙΤΟΣ

καὶ μὴν ἐγώ σ᾽ ὦ Δῆμε θεραπεύσω καλῶς
ὥσθ᾽ ὁμολογεῖν σε μηδέν᾽ ἀνθρώπων ἐμοῦ
ἰδεῖν ἀμείνω τῇ Κεχηναίων πόλει.

1248 οἵμοι] οἵμοι κακοδαίμων R. κέκρανται *Kock* πεπέρανται *Meineke* 1249 κυλίνδετέ μ᾽ εἴσω R 1250 ἄπιθι ἄπιθι R nach *Bekker*. καί σ᾽ codd. κἄν σ᾽ *Meineke* κεἴ σ᾽ *Bergk* 1253 Chor bei *Bergk* I 1254 — 1256 Demosthenes R, Kleon nach *G. Hermann* 1255 γεγένησε *alii in Scaligeri excerptis* *Dindorf* 1256 γένωμαι vulgo ἔσομαι R (γρ. Γ). Φανὸς vulgo φανὸς var. lect. schol. Φᾶνος *Meineke* 1257 ἐμοὶ μέγ᾽ ὅτι ΘΛ. ὅ τί σοι *Dindorf* 1821 1258 τῇ ἀγορᾷ *Aldus* τῇ ᾽γορᾷ *Brunck* 1259 τοίνυν γ᾽ *Aldus* 1261 ἐγὼ σ᾽ *Dindorf* 1263 ἀμείνω ᾽ν τῇ *Hirschig*

KLEON.

Weh mir! erfüllet ist der Spruch des Gottes, weh!
Bergt schnell mich unglücksel'gen in des Hauses Grund!
O Kranz, leb wohl mir, scheid' ich auch nur ungern mich
von dir; dich nimmt ein andrer nunmehr in Besitz,
Spitzbube schwerlich mehr noch, glücklicher vielleicht. (sinkt ohnmächtig um.)

WURSTHÄNDLER.

O Zeus, der Hellanen Hort, dein ist der Siegespreis.

CHOR (zum Wursthändler).

In deinem Siegesglanze sei gegrüfst und denk,
dafs ich zum Mann dich machte! Nur die kleine Gunst
bitt' ich, nimm mich zum Phanos deinem Schreiber an!

DEMOS (zum Wursthändler).

Doch sag mir, wie du heifsest.

WURSTHÄNDLER.

Agorakritos;
denn unter des Marktes Rechtsgezänke ward ich grofs.

DEMOS.

Dem Agorakritos übergeb' ich mich hiermit
und sag mich los von diesem Paphlagonier.

AGORAKRITOS.

Und ich, mein lieber Demos, will auf's schönste dich
nun pflegen, dafs du sagen sollst, du sahst noch nie
einen bessern Menschen für der Rachendehner Stadt.

(Die Pnyx wird mit Kleon zurückgerollt, Demos und Agorakritos gehen in das Haus.)

1252 Suidas *κλέπτης ... κλέπτης μὲν οὐχὶ μᾶλλον, εἰτυχὴς δ' ἴσως* 1253 Phaborin. 622 28 *ἑλλάνιος Ζεύς* 1256 Suidas *Φανός ... ὅπως ἔσομαί σοι Φανὸς ὑπογραφεὺς δικῶν.* Eustath. 1607 16 *καὶ ὁ παρὰ τῷ κωμικῷ Φανὸς ὑπογραφεὺς δικῶν* 1263 schol. 1151 *ὧν ὁ τελευταῖος ἰδεῖν ἀμείνω τῇ Κεχηναίων πόλει.* Eustath. 1909 55 *καθά που καὶ ὁ κωμικὸς Κεχηναίους ἀστείως τοὺς Ἀθηναίους παρῴδησε.* Suidas *Κεχηναίων πόλις*

ΧΟΡΟΣ

στροφή

τί κάλλιον ἀρχομένοισιν
ἢ καταπαυομένοισιν
ἢ θοᾶν ἵππων ἐλατῆρας ἀείδειν μηδὲν ἐς Λυσίστρατον
μηδὲ Θούμαντιν τὸν ἀνέστιον αὖ λυπεῖν ἑκούσῃ καρδίᾳ;

καὶ γὰρ οὗτος ὦ φίλ᾽ Ἄπολλον ἀεὶ πεινῇ θαλεροῖς δακρύοισιν

σᾶς ἁπτόμενος φαρέτρας Πυθῶνι δίᾳ μὴ κακῶς πένεσθαι.

ἐπίρρημα

λοιδορῆσαι τοὺς πονηροὺς οὐδέν ἐστ᾽ ἐπίφθονον,
ἀλλὰ τιμὴ τοῖσι χρηστοῖς, ὅστις εὖ λογίζεται.
εἰ μὲν οὖν ἄνθρωπος, ὃν δεῖ πόλλ᾽ ἀκοῦσαι καὶ κακά,

1264 *ἀρχομένοισι* schol. 1265 *καταπαυομένοισι Δ* 1266 *ἐλατῆρος ἀϊδειν* R 1267 *μηδὲν ἐς*] *μηδ᾽ ἓν ἢ Hotibius* 1268 *μηδὲ*] *ἢ Hotibius. Θόμαντιν Aldus. ἀνέστιον* (ohne *τὸν*) vulgo *Θ. τὸν ἀνέστιον* RV (nach *Bekker*) ΓΘΔ *μὴ Θούμαντιν ἀνέστιον ἂν Bothe* 1269 *λυπεῖν*] *λαχεῖν Reiske* 1270 *οὗτοσί, φίλ᾽* vulgo *οὑτοσί, ὦ φίλ᾽* RV (beide nach *Bekker*) *ΓΘΔ οὗτος᾽ ὦ φ.* R nach *Dindorf* 1821 *οὗτος Dindorf* 1271 *ἀεὶ* von *Dindorf* zugesetzt (schol. V *τὸ ζ᾽ ὁμοίως τῷ ε᾽*, nämlich *ἐκ τροχαϊκῆς βάσεως καὶ δακτυλικῆς πενθημιμερές* oder vielmehr *δακτυλικοῦ πενθημιμεροῦς*: — ◡ — ◡ | — ◡ ◡ — ◡ ◡ —). *θαλεροῖσι Aldus. δακρύοις* codd. *δακρύοισιν Brunck* 1273 *Πυθῶνι ἐν δὲ τὸ κακῶς* vulgo *ἐν δίᾳ κακῶς* RΓΔ *Πυθῶδ᾽ ἰὼν Bentley Πυθῶνι μὴ ᾽νδεᾶ Reisig Πυθῶνι δὲ τὸ Bothe* verbessert von *Dindorf*, der früher *Πυθῶνι μὴ διανεκῶς* (Π. *ἐν δίᾳ κακῶς* 1825) vermuthet hatte 1274 *λοιδορεῖσθαι* var. lect. schol. 1275 *ὅστις*] *εἴ τις Dawes* 1276 *ἄνθρωπος Bernhardy. ὃν*] *ὧν* R nach *Bekker*

1264 ff. Eustath. 1164 24 *σύμφωνον δὲ ἔχει καὶ τὸ τί κάλλιον ἀρχομένοις Ἢ καταπαυομένοις Ἢ τὸ ποθεινότατον*; Suidas *προσόδια ὕμνοι. ἀρχὴ προσοδίου τί κάλλιον ἀρχομένοισιν Ἢ καταπαυομένοισιν Ἢ θοᾶν* (θοῶν ABE θεῶν Med.) *ἵππων* (fehlt im V) *ἐλατῆρας ἀείδειν*;

CHOR.

Was wäre wohl schöner zum Anfang
oder zum fröhlichen Ende,
als ein Lied der Lenker der hurtigen Rosse? — ja nicht auf Lysistratos,
auch den obdachlosen Thumantis nicht wieder kränken ganz aus heiler Haut!
denn auch dieser, güt'ger Apollon, er hungert stets, und mit strömenden Thränen
berührt in der heiligen Pytho deinen Bogen er ob blut'ger Armuth.

Keinem wird's verübelt, wer die schlechten an den Pranger stellt;
sondern Ehre bringt's den guten, wo man richtig es erwägt.
Wäre nun der Mensch, der jetzo seine Schande hören soll,

(γρ. καὶ ἀεῖσαι AV Ox.) 1267 ff. Suidas *ἀνέστιος ἄοικος. μηδὲν εἰς Λυσίστρατον Μηδὲ Θούμαντιν τὸν ἀνέστιον αὖ λυπεῖν ἐκούσῃ καρδίᾳ. — Θούμαντις ὄνομα κύριον. μηδὲν ἐς Λυσίστρατον Μηδὲ Θούμαντιν τὸν ἀνέστιον αὖ λυπεῖν (λιπεῖν Med.) ἐκούσῃ καρδίᾳ. — Λυσίστρατος καὶ Θούμαντις πένητες. Ἀριστοφάνης μηδὲν ἐς Λυσίστρατον Μηδὲ Θούμαντιν τὸν ἀνέστιον αὖ λυπεῖν ἐκούσῃ καρδίᾳ* 1268 cf. Hesych. *ἀνεσθίων* und *ἀναιέστιον* (so *Musurus* ἀναιεστιὸν cod.) *μηκέτι ἐσθιόμενον* (*ἀνέστιον μηκέτι ἐστιώμενον Meineke*) 1274 ff. Suidas (vgl. Phaborin. 1190 34) *λοιδορεῖσθαι τοὺς πονηροὺς οὐδέν ἐστ' (οὐδὲν* Med. Phab.) *ἐπίφθονον, Ἀλλὰ τιμὴ (ἀλλά γε μὴ* *V) *τοῖσι χρηστοῖς, ὅστις εὖ λογίζεται (ἀλογίζεται* *V) ... εἰ μὲν οὖν ἄνθρωπος, ὃν δεῖ πάλλ' ἀκοῦσαι καὶ κακά, Αὐτὸς ἦν ἔνδηλος, οὐκ ἂν ἐμνήσθην (ἐμνήσθη* Phab.) *φίλου. Νῦν δ' Ἀρίγνωτον γὰρ οὐδεὶς ὅστις οὐκ ἐπίσταται, Ὅστις ἢ τὸ λευκὸν οἶδεν ἢ τὸν ὄρθιον (ὀρθὸν* ABE) *νόμον* 1276 ff. Suidas *εἰ μὲν οὖν (οὖν* fehlt im V) *ἄνθρωπος, ὃν δεῖ (ὃν οὐ δεῖ* E) *πόλλ' ἀκοῦσαι καὶ κακά, Αὐτὸς ἦν (ὢν* Med. Ox.) *ἔνδηλος, οὐκ ἂν ἐμνήσθην φίλου. Νῦν δ' Ἀρίγνωτον γὰρ οὐδεὶς ὅστις οὐκ ἐπίσταται, Ὅστις ἢ τὸ λευκὸν οἶδεν ἢ τὸν ὄρθιον νόμον*

αὐτὸς ἦν ἔνδηλος, οὐκ ἄν ἀνδρὸς ἐμνήσθην φίλου.
νῦν δ' Ἀρίγνωτον γὰρ οὐδεὶς ὅστις οὐκ ἐπίσταται,
ὅστις ἢ τὸ λευκὸν οἶδεν ἢ τὸν ὄρθιον νόμον.
ἔστιν οὖν ἀδελφὸς αὐτῷ τοὺς τρόπους οὐ συγγενὴς
Ἀριφράδης πονηρός· ἀλλὰ τοῦτο μὲν καὶ βούλεται·
ἐστὶ δ' οὐ μόνον πονηρός, οὐ γὰρ οὐδ' ἂν ἠσθόμην,
οὐδὲ παμπόνηρος, ἀλλὰ καὶ προσεξεύρηκέ τι.
τὴν γὰρ αὐτοῦ γλῶτταν αἰσχραῖς ἡδοναῖς λυμαίνεται
ἐν κασωρίοισι λείχων τὴν ἀπόπτυστον δρόσον
καὶ μολύνων τὴν ὑπήνην καὶ κυκῶν τὰς ἐσχάρας
καὶ Πολυμνήστεια ποιῶν καὶ ξυνὼν Οἰωνίχῳ.
ὅστις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα βδελύττεται,
οὔποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου.

ἀντίστροφος

ἦ πολλάκις ἐννυχίαισι
φροντίσι συγγεγένημαι
καὶ διεζήτηχ' ὁπόθεν ποτὲ φαύλως ἐσθίει Κλεώνυμος.
φασὶ μὲν γὰρ αὐτὸν ἑρεπτόμενον τὰ τῶν ἐχόντων ἀνέρων

1277 οὗτος vulgo αὐτὸς R. ἦν] ὢν R nach *Dindorf.* ἄδηλος *Reiske* 1279 τὸν λευκὸν var. lect. schol. 1280 ἔστι δ' οὖν *Meineke.* ξυγγενής V nach *Bekker* 1282 ἔστι vor *Dindorf.* οὐ γὰρ ... παμπόνηρος fehlt in VΓΘΔ. ἠχθόμην *Bentley* 1283 προσεξηύρηκε *Meineke* 1284 αὐτοῦ vor *Portus* 1285 κασαυρίοισι vulgo κασαλβίοις var. lect. schol. γρ. σαλ Θ κασωρείοισι *Cobet.* λίχων R 1286 κυνῶν *G. Hermann* 1289 οὔτε ποτ' (*Aldus*) V nach *Bekker* οὐδέποτ' B. πίεται μεθ' ἡμῶν ΘΔ 1292 διεξήτηχ' ΘΔ 1294 f. φασὶ γὰρ codd. φασὶ μὲν γὰρ *Bentley.* 'vereor ne ἀνέρων metrici sit supplementum, postquam genuinum vocabulum exciderat' *Meineke*

1278 schol. Vesp. 1281 ὅτι δὲ φίλως ἐῴκει ἔχειν πρὸς τὸν Ἀρίγνωτον, ἐν τοῖς ἱππεῦσι δῆλον 1281 ff. Lukianos III 164 (pseudologista 3) καὶ δόξαν οὐ μικρὰν ἔχεις ... ὑπὲρ τὸν Ἀριφράδην. schol. (Suidas Ἀριφράδης) Ἀριφράδης οὗτος λοιδορεῖται ἀεὶ γυναιξὶ συνών. Ἀριστοφάνης Ἀριφράδης ἐστὶ μὲν πονηρός· ἀλλὰ τοῦτο μὲν καὶ βούλεται· Ἐστὶ δ' οὐ μόνον πονηρός, οὐ γὰρ οὐδ' ἂν ἠσθόμην, Οὐδὲ παμπόνηρος, ἀλλὰ καὶ προσεξεύρηκέ τι. Τὴν γὰρ αὐτοῦ γλῶτταν αἰσχρῶς ἥδον (αἰσχραῖς ἥδον Suidas). τουτέστι τὸ αἰδοῖον τοῦ ἀνθρώπου καὶ τὸ σπέρμα. Ἀριφράδης γε Πολύμνηστος καὶ Οἰώνιχος ἀρρητοποιεῖ (ἀρρητοποιοί *Reitz*). καὶ Πολυμνήστεια καὶ αὐτὴ κωμῳδεῖται ἐπ' αἰσχρότητι 1285 Pollux 6 188 ἐν κασαυρείοις. Stephanos Byz. κασώριον τὸ πορνεῖον. Ἀριστοφάνης ἐν κα-

selbst bekannt genug, so braucht' ich hier des Freundes Namen nicht.
Doch nun giebt es keinen, welchem Arignotos unbekannt,
hat er je von schwarz und weifs nur und vom Orthios gehört.
Dieser Mann hat einen Bruder, von Gemüth ihm nicht verwandt,
Lump Ariphrades (so heifst er) — doch er will ein Lump nur sein —;
er ist nicht so schlechtweg Lump nur (dieses hätt' ich kaum bemerkt),
auch nicht Erzlump, nein er hat was gröfs'res noch dazu erdacht.
Denn die eigne Zunge schändet er mit widerwärt'ger Lust
leckend in den Hurenhäusern aller Säfte scheufslichsten
und den Bart damit besudelnd, wühlend in dem geilen Mund,
führt des Polymnestos Lieder auf und liebt Oionichos.
Wer nun einen solchen Menschen nicht verabscheut, was er kann,
den soll man mit uns aus einem Becher niemals trinken seh'n.

Wie oft schon bei nächtlicher Weile
liefs mich die Sorge nicht schlafen,
weil ich ängstlich forschte, woher nur Kleonymos den Appetit hat.
Setzt er doch, wenn an der Vermögenden Tafel er sich gütlich thut,

---

σωριοισι λείχων. Hesych. χασαυρείοις οἴκοις κτλ. (vgl. χασωρεῖον, nach der alphabetischen Ordnung χασώριον). Suidas χασαυρίοις ἢ χασαλβίοις ... Ἀριστοφάνης ἐν χασαυρίοισι λείχων τὴν ἀπόπτυστον δρόσον. Phaborin. 995 39 χασαυρίοις. Ἀριστοφάνης ἐν χασαυρίοις λείχων. 253 3 ἀπόπτυστον μισητόν 1286 Eustath. 815 13 ἐσχάραι ἰατρικῶς καλοῦνται. ἡ δὲ κωμῳδία καὶ τὸ γυναικεῖον μόριον οὕτω καλεῖ. 1353 58 καὶ ὁ κωμικὸς οὕτω νοεῖ ἐν οἷς λέγει μολύνειν τινὰ τὴν ὑπήνην (vgl. 1523 29). Suidas ἐσχάραι τὰ χείλη τοῦ γυναικείου αἰδοίου. Phaborin. 772 47 ἐσχάραι ... ἡ δὲ κωμῳδία καὶ τὸ γυναικεῖον μόριον οὕτω καλεῖ. 773 8 ἐσχάρας Ἀριστοφάνης ἐν ἱππεῦσι λέγει τὰ χείλη τῶν γυναικείων αἰδοίων 1287 ff. Suidas Phaborin. 1539 17 Πολύμνηστος καὶ Ἀριφράδης καὶ Οἰώνιχος ... καὶ Πολυμνήστεια ... Ἀριστοφάνης ὅστις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα λυμαίνεται, Οὔποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου 1288 f. Suidas (schol. Lukian. s. zu 1281) Ἀριφράδης ... Ἀριστοφάνης ... εἴ τις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα φυλάττεται, Μήποτ' (μήποτε schol. Luk.) ἐκ τοῦ αὐτοῦ μεθ' ἡμῶν πίεται (πίηται schol. Luk.) ποτηρίου. Phaborin. 359 1 βδελύττεται, τουτέστι μισεῖ, Ἀριστοφάνης 1289 Athenaios 10 446 D πίομαι δὲ ἄνευ τοῦ υ λεκτέον, ἐκτείνοντας δὲ το ι ... καὶ Ἀριστοφάνης ἱππεῦσι κοὔποτ' ἐκ ταὐτοῦ ποτηρίου

οὐκ ἂν ἐξελθεῖν ἀπὸ τῆς σιπύης, τοὺς δ' ἀντιβολεῖν ἂν ὁμοίως· 1275

'ἴθ' ὡ ἄνα πρὸς γονάτων ἔξελθε καὶ σύγγνωθι τῇ τραπέζῃ.'

ΑΝΤΕΠΙΡΡΗΜΑ

φασὶν ἀλλήλαις ξυνελθεῖν τὰς τριήρεις ἐς λόγον
καὶ μίαν λέξαι τιν' αὐτῶν, ἥτις ἦν γεραιτέρα·
'οὐδὲ πυνθάνεσθε ταῦτ' ὦ παρθένοι τὰν τῇ πόλει;
φασὶν αἰτεῖσθαί τιν' ἡμῶν ἑκατὸν ἐς Καλχηδόνα 1280
ἄνδρα μοχθηρὸν πολίτην ὀξίνην 'Υπέρβολον.'
ταῖς δὲ δόξαι δεινὸν εἶναι τοῦτο κοὐκ ἀνασχετὸν
καί τιν' εἰπεῖν, ἥτις ἀνδρῶν ἄσσον οὐκ ἐληλύθει·
'ἀποτρόπαι' οὐ δῆτ' ἐμοῦ γ' ἄρξει ποτ', ἀλλ' ἐάν με χρῇ
ὑπὸ τερηδόνων σαπεῖσ' ἐνταῦθα καταγηράσομαι· 1285
οὐδὲ Ναυφάντης γε τῆς Ναύσωνος, οὐ δῆτ' ὦ θεοί,
εἴπερ ἐκ πεύκης γε κἀγὼ καὶ ξύλων ἐπηγνύμην.
ἢν δ' ἀρέσκῃ ταῦτ' Ἀθηναίοις, καθῆσθαί μοι δοκεῖ
ἐς τὸ Θησεῖον πλεούσας ἢ 'πὶ τῶν σεμνῶν θεῶν.
οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει· 1290
ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας εἰ βούλεται
τὰς σκάφας, ἐν αἷς ἐπώλει τοὺς λύχνους, καθελκύσας.'

1296 *ἀπὸ σιπύης Aldus ἀπὸ τῆς σ.* RVΓΘΔ 1297 *ἀνομοίως* vulgo (V nach *Bekker*) *ἂν ὅμως Bentley ἂν ὁμοίως* R *ἀλλ' ὅμως* ΑΔ (*γρ. Γ*) *γρ. ἐὰν ὁμοίως* C *ἀλλ' ὅμως* (*ὁμῶς* nach *Dindorf* 1830), *γρ. ἀνομοίως Θ ἐᾶν ὁμοίως Brunck ἀνονήτως Kock* 1299 *ἔξελθε· σύγγνωθι Bothe. εἴσελθε Bergk* 1300 *συνελθεῖν ΓΘΔ* 1303 *Καρχηδόνα* codd. *Καλχηδόνα Casaubonus Χαλκηδόνα Scaliger* 1304 *μοχθηρὸν*] *πονηρὸν* RΓΘΔ 1305 *ταῖς*] *τὰς* RΓΔ 1306 *εἰληλύθει Meineke* 1307 *χρή* vor *Dindorf* (*χρῇ* RV nach *Bekker*) 1308 *ἐντεῦθεν ΘΔ* 1309 *Ναυφάντη 'λεγε Reiske* 1310 *γε*] *τε Reiske* 1311 *εἰ δ' ἀρέσκοι Aldus ἢν δ' ἀρέσκῃ* RΓ (*γρ. Θ*) *ἂν δ' ἀρέσκῃ* VAΘΔ *εἰ δ' ἀρέσκει* C. *Ἀθηναίοισι* vor *Bentley* (*Ἀθηναίοις* V nach *Bekker*). *καθεῖσθαι* R *καθῆσθ' ἄν Dawes. δοκῶ* codd. *δοκεῖ Bentley* 1312 *πλεούσας* codd. *πλεούσας Reiske πλέουσ' ἂν ἢ 'ς τὸ Dawes. ἢ 'πὶ τῷ Reiske* 1314 *εἴ γε ΘΔ*

sagt man, nie in Ruhe den gierigen Mund, dafs andre vereinigt ihn bitten:
'o Herr, lafs dich gnädig erfleh'n, hör' auf und schenk dem Tische doch das Leben!'

Zur Berathung, sagt man, haben die Trieren sich vereint,
und die eine hat gesprochen, die die altehrwürdigste:
'habt ihr noch, Jungfrauen, nicht gehört, was sich die Stadt erzählt?
denkt euch! unser hundert, heifst es, fordert ein Hyperbolos
nach Kalchedon, ein infamer Sauertopf mit Bürgerrecht.'
Unerträglich sei das denn erschienen und höchst wunderbar,
und gesagt hab' eine wieder, die vom Mann noch nichts gewufst:
'Gott behüte! mich soll er nicht kriegen; und wenn's nöthig ist,
will ich ganz vom Wurm zerfressen lieber altern hier am Ort;
auch Nauphante nicht, des Nauson Tochter, bei den Göttern nein,
bin ich anders selbst gezimmert aus der schlanken Tanne Stamm.
Sollte den Athenern dies gefallen, glaub' ich, müfsten wir
ins Theseion flüchten und der Eumeniden Heiligthum.
O er soll uns commandierend nicht verhöhnen diese Stadt;
mög' er, wenn's beliebt, zum Kuckuck selber schiffen, hat er erst
flott gemacht die Kübel, die zum Lampenkram ihm sonst gedient.'

1301 ff. Eustath. 1446 14 *ὅθεν ὁ κωμικὸς λαβὼν ἀρχὴν παίζει τὰς μὲν μήπω πλευσάσας παρθένους λέγων καὶ μήπω ἀνδρῶν ἄσσον ἐλθούσας, τὰς δὲ παρ' Ὁμήρῳ παλαιὰς γραίας ἀποκαλῶν* 1302 schol. 1306 *ἦν ἄνω εἶπε παρθένον* 1307 f. Suidas *τερηδών ... Ἀριστοφάνης ἱππεῦσιν ἀλλ' ἐάν με χρὴ Ὑπὸ τερηδόνων σαπεῖσ' (σκαπεὶς* V) *ἐνταῦθα καταγηράσομαι (καὶ καταγηράσομαι* BVE Med.) 1308 Eustath. 1403 38 *ἐκ τοῦ ἔδειν δὲ καὶ ἡ τερηδών, θηρίδιόν φασι ξυλοφάγον, οὗ ἡ χρῆσις καὶ παρὰ Ἀριστοφάνει ἐν ἱππεῦσι.* Phaborin. 1744 53 *τερηδόνων* 1310 Suidas Phaborin. 579 26 *εἴπερ ἐκ πεύκης γε κἀγὼ καὶ ξύλων ἐπηγνύμην Ἀριστοφάνης* 1311 f. Suidas *Θησεῖον. καθῆσθαί μοι δοκῶ ἐπὶ τὸ Θησεῖον ἢ ἐπὶ τῶν σεμνῶν θεῶν* 1313 f. Suidas *ἐγχανών ... Ἀριστοφάνης ... καὶ αὖθις οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει· Ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας* 1315 Phaborin. 1655 33 *σκάφας τὰ ξύλινα ἀγγεῖα λέγουσι*

ΑΓΟΡΑΚΡΙΤΟΣ

εὐφημεῖν χρὴ καὶ στόμα κλείειν καὶ μαρτυριῶν ἀπέχεσθαι

καὶ τὰ δικαστήρια συγκλείειν, οἷς ἡ πόλις ηδε γέγηθεν,

ἐπὶ καιναῖσιν δ᾽ εὐτυχίαισιν παιωνίζειν τὸ θέατρον.

ΧΟΡΟΣ

ὦ ταῖς ἱεραῖς φέγγος ᾽Αθήναις καὶ ταῖς νήσοις ἐπίκουρε

τίν᾽ ἔχων φήμην ἀγαθὴν ἥκεις, ἐφ᾽ ὅτῳ κνισῶμεν ἀγυιάς;

ΑΓΟΡΑΚΡΙΤΟΣ

τὸν Δῆμον ἀφεψήσας ὑμῖν καλὸν ἐξ αἰσχροῦ πεποίηκα.

ΧΟΡΟΣ

καὶ ποῦ ᾽στιν νῦν; ὦ θαυμασιὰς ἐξευρίσκων ἐπινοίας.

1316 *στίχοι ἐν ἐκθέσει ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ιε′* schol. *κλήειν Dindorf* 1317 *συγκλήειν Dindorf. καὶ συγκλείειν τὰ δικαστήρια, τοῖς ἡ Bothe. ἥδ᾽ ἐγεγήθην Elmsley* 1318 *καιναῖσι* (*Aldus*) R nach *Bekker καιναῖς*$^{\alpha\iota}$ *Γ κοιναῖς ΘΔ. εὐτυχίαισι* R (nach *Bekker*) *ΘΔ* 1319 *ὦ ταῖς ἱεραῖς νήσοις ἐπίκουρε* (*ἐπίκουρ᾽ ἡμῶν Küster*) *καὶ φέγγος ἐν ᾽Αθήναις* vulgo *ἐν* fehlt in VACΓΘΔ *ἐπίκουρος καὶ φέγγος ὂν ἐν Ducker ἐπίκουρ᾽ ὦ λαμπρὸν φ. ᾽Α.* oder *ἐπίκουρε φανεὶς καὶ φ. ᾽Α. Bentley ταῖς ἡμετέραις ἐπίκουρε φανεὶς νήσοις καὶ Valckenaer ὦ ταῖς ἱεραῖς ἐπίκουρε φανεὶς νήσοις καὶ Brunck* richtig R 1320—

Vierzehnte Scene. Agorakritos tritt auf.

AGORAKRITOS.

Jetzt gilt es in Andacht zu schliefsen den Mund und die Zeugenverhöre zu lassen
und alle Gerichte zu schliefsen, woran sich die Stadt unmäfsig ergötzet;
das Theater erhebe den Lobgesang laut ob des Glückes, das jetzt uns betroffen.

CHOR.

O du, der als Sonne dem heil'gen Athen und ein Helfer den Inseln erschienen,
was bringst du für fröhliche Kunde, die Stadt uns mit Opferdampf festlich zu füllen?

AGORAKRITOS.

Denkt! umgekocht hab' ich den Demos den Greis und zum herrlichsten Jüngling verwandelt.

CHOR.

Und wo ist er denn nun? sag Wundermann du, der so neue Gedanken erfindet!

1324 fehlen im *Γ* 1320 *ἦκες ΘΔ. κνισσῶμεν* vulgo *κνισῶμεν* var. lect. schol. *κνίσσωμεν* V *κνισωμεν* R (beides nach *Bekker*). *ἀγνιᾶς Ducker* 1321 *ἐφεψήσας* schol. *ἡμῖν Aldus ὑμῖν* RV (beide nach *Bekker*) CΘΔB 1322 *ποῦ 'στι* vor *Brunck πό 'στιν* R *ποῦ 'στιν* V (beides nach *Bekker*) *ποῦ 'στι τὸ νῦν Bothe. νῦν* fehlt in *ΘΔ*

1321 Suidas *ἀπεψησάμην ... καὶ ἀπεψήσας ... Ἀριστοφάνης τὸν Δῆμον ἀπεψήσας ὑμῖν* (*ἡμῖν* C) *καλὸν ἐξ αἰσχροῦ πεποίηκα* 1322 Suidas *ὦ θαυμαστὰς ἐξευρίσκων ἐπινοίας*

ΑΓΟΡΑΚΡΙΤΟΣ

ἐν ταῖσιν ἰοστεφάνοις οἰκεῖ ταῖς ἀρχαίαισιν Ἀθήναις 1300

οἷόσπερ Ἀριστείδῃ πρότερον καὶ Μιλτιάδῃ ξυνεσίτει.
ὄψεσθε δέ, καὶ γὰρ ἀνοιγνυμένων ψόφος ἤδη τῶν προπυλαίων.

ἀλλ' ὀλολύξατε φαινομέναισιν ταῖς ἀρχαίαισιν Ἀθήναις

καὶ θαυμασταῖς καὶ πολυύμνοις, ἵν' ὁ κλεινὸς Δῆμος ἐνοικεῖ.

ΧΟΡΟΣ

ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀριζήλωτοι Ἀθῆναι 1305

δείξατε τὸν τῆς Ἑλλάδος ἡμῖν καὶ τῆς γῆς τῆσδε μόναρχον.

ΑΓΟΡΑΚΡΙΤΟΣ

ὅδ' ἐκεῖνος ὁρᾶν τεττιγοφόρας ἀρχαίῳ σχήματι λαμπρὸς

οὐ χοιρινῶν ὄζων, ἀλλὰ σπονδῶν, σμύρνῃ κατάλειπτος.

ΧΟΡΟΣ

χαῖρ' ὦ βασιλεῦ τῶν Ἑλλήνων· καί σοι ξυγχαίρομεν ἡμεῖς.

τῆς γὰρ πόλεως ἄξια πράττεις καὶ τοῦ Μαραθῶνι τροπαίου. 1310

1323 *ἰοστεφάνοισιν* RΘ nach diesem Verse haben die codd. 1324 ΧΟ. *πῶς ἂν ἴδωμεν* (*ἴδοιμεν* V nach *Bekker*), *ποίαν ἔχει σκευὴν καὶ ποῖος γεγένηται; τίν' ἔχει σκευὴν καὶ ποῖός τις γεγένηται; Brunck ποίαν τιν' ἔχει* (*ἔχων G. Hermann*) *σκευὴν καὶ τίς Porson ποίαν τιν' ἔχει σκευήν, ποῖος Reisig ποίαν ἂν ἔχων* (*ἔχει Bothe*) *σκευήν, ποῖος Hotibius ποίαν μὲν ἔχει σκευήν, ποῖος Lenting πῶς ἄν νιν ἴδοιμεν; ἔχει ποιὰν* (sic) *σκευήν, ποῖος Bergk* I unter dem Text bei *Meineke* 1326 *ὄψεσθέ γε Γ* 1327 *φαινομέναις Aldus ταῖς φαινομέναις ταῖσδ' Bentley φαινομέναισι* RV (nach *Bekker*) C *φαινομένῃσι* ΑΓΘΔ *φαινομέναις* B *φαινομένῃσιν Brunck φαινομέναισιν Porson. ἀρχαίαις* Θ *ἀρχαῖς Δ* 1328 *οἰκεῖ* V nach *Bekker* 1329

AGORAKRITOS.

Er wohnet im veilchenbekränzten Athen, in dem alten Athen aus der Vorzeit,
wie mit Miltiades einst er gespeist und der Redlichkeit Bild Aristeides.
Ihr bekommt ihn zu seh'n, ja man hört das Geräusch schon der Thüren, die eben sich öffnen.
Nun erhebet zum Himmel ein Jubelgeschrei, da Athen euch erschienen, das alte,
das bewundernswerthe, der Dichter Gesang, das der treffliche Demos bewohnet.

CHOR.

O reiches beneidenswerthes Athen, das im Kranz der Violen du prangest;
wir bitten, o zeig' uns von Hellas den Herrn und des attischen Landes Gebieter.

(Die Thüren des Hauses gehen auf, im innern desselben sieht man den verjüngten Demos altväterisch geschmückt an einem Tische sitzen.)

Fünfzehnte Scene. Die Vorigen. Demos (erhebt sich und betritt die Bühne).

AGORAKRITOS.

Da erscheinet er schon heuschreckengeschmückt in der früheren Haltung erglänzend,
wohl duftend nach Spenden des Friedens und nicht nach Muscheln, mit Myrrhen gesalbet.

CHOR (zum Demos).

Heil wünschen wir dir, der Hellenen Monarch! Heil wünschen mit dir wir uns selber.
Denn wiederum zeigst du dich unserer Stadt und des Denkmals in Marathon würdig.

ταὶ] καὶ *Hotibius* 1330 ὑμῖν *Dindorf* 1830 1331 τεττιγοφόρος codd. verbessert von *Porson* καρχαίῳ oder τεττιγοφορῶν *Bentley* τῷ 'ρχαίῳ *Brunck*. λαμ̄ R 1332 χοιρίνων vor *Brunck* (χοιρινῶν RV nach *Bekker*). κατάληπτος Θ 1333 καὶ σοὶ *Dindorf* 1821. συγχαίρομεν ΘΔ 1334 τοῦ 'ν vulgo τοῦ *Bentley* τοὔμμαραθῶνι R

1325 Suidas Μιλτιάδῃ καὶ Ἀριστείδῃ ἐῴκει 1331 Hesych. τεττιγοφόρας. Ἀττικοὶ ἐπὶ τῶν τῆς κεφαλῆς τριχῶν εἰρομένων (εἶρον oder ἐνεῖρον *L. Dindorf*) χρυσοῦς τέττιγας 1332 Eustath. 1753 29 ὁ δὲ κωμικὸς φαίνεται χοιρίνας εἰδέναι καὶ τινας ψήφους δικαστικάς 1334 Suidas Μιλτιάδῃ ... τοῦ δὲ ἐν Μαραθῶνι τροπαίου μέμνηται ὁ ποιητής

ΔΗΜΟΣ

ὦ φίλτατ᾽ ἀνδρῶν ἐλθὲ δεῦρ᾽ Ἀγοράκριτε.
ὅσα με δέδρακας ἀγάθ᾽ ἀφεψήσας.

ΑΓΟΡΑΚΡΙΤΟΣ

ἐγώ;
ἀλλ᾽ ὦ μέλ᾽ οὐκ οἶσθ᾽ οἷος ἦσθ᾽ αὐτὸς πάρος
οὐδ᾽ οἷ᾽ ἔδρας, ἐμὲ γὰρ νομίζοις ἂν θεόν.

ΔΗΜΟΣ

τί δ᾽ ἔδρων πρὸ τοῦ κάτειπε καὶ ποῖός τις ἦ.

ΑΓΟΡΑΚΡΙΤΟΣ

πρῶτον μὲν ὁπότ᾽ εἴποι τις ἐν τῇκκλησίᾳ
᾽ὦ Δῆμ᾽ ἐραστής εἰμι σὸς φιλῶ τέ σε
καὶ κήδομαί σου καὶ προβουλεύω μόνος,᾽
τούτοις ὁπότε χρήσαιτό τις προοιμίοις,
ἀνωρτάλιζες κἀκερουτίας.

ΔΗΜΟΣ

ἐγώ;

ΑΓΟΡΑΚΡΙΤΟΣ

εἶτ᾽ ἐξαπατήσας σ᾽ ἀντὶ τούτων ᾤχετο.

ΔΗΜΟΣ

τί φής;
ταυτί μ᾽ ἔδρων, ἐγὼ δὲ τοῦτ᾽ οὐκ ἠσθόμην;

1336 *ἐφεψήσας ἔσω G. Hermann ἀφεψήσας νέον Bergk* (‘quamquam etiam *ἴθι, ἰοὺ* alia conjici possunt’) *ἀγάθ᾽*. ΑΓ. *ἀφεψήσας γ᾽ ἐγώ Meineke*, später *σ᾽ ἐγώ* oder *σ᾽ ἐγώ;* 1337 *ὦ μέλε᾽ ΓΘ* 1338 *οἷον Aldus* οἷ᾽ RVΓΘΔ. *ἔδρας*] *ἔδρ᾽ Δ. νομίζεις ΘΔ* 1339 *ἔδρων, κάτειπέ μοι, πρὸ τοῦ; ποῖος τις Aldus πρὸ τοῦ κάτειπε καὶ π.* R. *ἦν* VACΓΘΔ *ἦ* R *εἶ* B 1340 *τῇ ἐκκλησίᾳ* schol. *τῆι κλησίαι* R (*τῇκκλησίᾳ* V nach *Bekker*) 1341 ‘legebatur *ἐραστής τ᾽. ἐραστής* R’ *Dindorf* 1342 *μόνον* bei *Scaliger* 1346 *φής* vulgo *φῄς Bothe. τοιαῦτά μ᾽* vulgo *ταυτί μ᾽* RV (*ταῦτί μ᾽* beide nach *Bekker*) *ΓΘΔ τοιαῦτ᾽ ἔδρων μ᾽ Reiske. ἐγὼ δ᾽ οὐκ* vulgo *ἐγὼ δὲ τοῦτ᾽ οὐκ* RVΓΘΔ. *ἠσθόμην*] *ἤδειν* RVΓΘΔ. *ταυτί με δρώντων ταῦτ᾽ ἄρ᾽ οὐκ ἤδειν ἐγώ; Kock ταυτί μ᾽ ἔδρων, ἐγὼ δέ γ᾽ οὐκ ἤδη; τί φής; Meineke*

DEMOS.

O liebster Freund Agorakritos, komm her zu mir!
Wie dank' ich dir, dafs du mich umgekocht!

AGORAKRITOS.

Aha!
Mein Freund, du weifst noch gar nicht, wie du früher warst
und was du that'st; du hiefsest sonst mich einen Gott.

DEMOS.

Was that ich früher? sag mir's; und wie war ich denn?

AGORAKRITOS.

Nun erstens, wenn in der Volksversammlung einer sprach:
'o Demos, du bist meine Flamm', ich liebe dich
und sorge für dich, und ich allein weifs Rath für dich,
wenn solcher Eingangsreden einer sich beflifs,
mit den Flügeln schlugst du, trugst die Nase hoch.

DEMOS.

Wer? ich?

AGORAKRITOS.

Dafür betrog er dann dich und verlachte dich.

DEMOS.

Nicht möglich!
so machten sie's mit mir, und ich bemerkt' es nicht?

1341 f. Suidas *φιλῶ σε Καὶ κήδομαι* 1342 Suidas *κήδομαί σου* 1343 f. Suidas *ἀνορταλίζειν καὶ ἀνωρτάλιζες ... Ἀριστοφάνης τούτοις ὁπότε* (ὅποταν B) *χρήσαιτό τις προοιμίοις, Ἀνωρτάλιζες κἀχεροντίας* 1344 Hesych. *ἀνορταλίζειν ἄλλεσθαι.* Etym. M. 634 13 *ὀρταλίζειν τὸ ῥίπτειν, ὡς Ἀριστοφάνης, οἷον ἀνωρτάλιζες κἀχεροντίας.* Gudian. 436 45 *τὸ δὲ ἀμορτάλιζες παρὰ Ἀριστοφάνῃ οἷον ἐκουφίσθης* (vgl. Etymol. Orionis 123 17). Zonaras I 223 (Bekker anecd. gr. I 406 17) *ἀνορταλίζειν σκιρτᾷν παίζειν.* 664 *ἐχεροντίας ... ἀνωρτάλιζες κἀχεροντίας.* II 1471 *ὀρταλίζειν ... ὡς Ἀριστοφάνης, οἷον ἀνορτάλιζες κἀχεροντίαν.* Suidas *ἐχεροντίας ... ἀνωρτάλιζες κἀχεροντίας* (*καὶ κἀχεροντίας* *V). — *κἀχεροντίας. Ἀριστοφάνης ἀνωρτάλιζες κἀχεροντίας*

ΑΓΟΡΑΚΡΙΤΟΣ

τὰ δ' ὠτά γ' ἄν σου νὴ Δί' ἐξεπετάννυτο
ὥσπερ σκιάδειον καὶ πάλιν ξυνήγετο.

ΔΗΜΟΣ

οὕτως ἀνόητος ἐγεγενήμην καὶ γέρων;

ΑΓΟΡΑΚΡΙΤΟΣ

καὶ νὴ Δί' εἴ γε δύο λεγοίτην ῥήτορε
ὃ μὲν ποιεῖσθαι ναῦς μακράς, ὁ δ' ἕτερος αυ
καταμισθοφορεῖν, τούτοιν ὁ τὸν μισθὸν λέγων
τὸν τὰς τριήρεις παραδραμὼν ἂν ᾤχετο.

οὗτος τί κύπτεις; οὐχὶ κατὰ χώραν μενεῖς;

ΔΗΜΟΣ

αἰσχύνομαί τοι ταῖς πρότερον ἁμαρτίαις.

ΑΓΟΡΑΚΡΙΤΟΣ

ἀλλ' οὐ σὺ τούτων αἴτιος, μὴ φροντίσῃς,
ἀλλ' οἵ σε ταῦτ' ἐξηπάτων. νυνδὶ φράσον·
ἐάν τις εἴπῃ βωμολόχος ξυνήγορος
'οὐκ ἔστιν ὑμῖν τοῖς δικασταῖς ἅλφιτα,
εἰ μὴ καταγνώσεσθε ταύτην τὴν δίκην,
τοῦτον τί δράσεις εἰπὲ τὸν ξυνήγορον.

ΔΗΜΟΣ

ἄρας μετέωρον ἐς τὸ βάραθρον ἐμβαλῶ
ἐκ τοῦ λάρυγγος ἐκκρεμάσας Ὑπέρβολον.

1347 *τὰ δ'*] *τάδ' Lenting τά τ' Bergk* I. *γάρ σου* vulgo *ὠτά γ' ἄν σου* R *ὠτά σου νὴ τὸν Δί' Cobet τὰ γὰρ ὠτά σου νὴ τὸν Meineke* 1348 *σκιάδιον* vulgo (auch R) *σκιάδειον* AV (nach *Bekker*) *σκιαδεῖον Γ* (*γρ. καὶ σκιάδιον*) *ΘΔ* 1349 *ἐγεγενήμην, καὶ* (für *καίπερ*) *Bothe* 1350 *Δία γ' εἰ δύο* (so RVACΘΔ *δύω Aldus*) *λεγοίτην* (*σοι λεγοίτην* V nach *Bekker*) codd. *Δί' ὅτε γε Elmsley Δί' εἰ δύο γε Reisig Δί' εἴ γε δύο Porson Δία γ' εἰ σοι* oder *Δί' εἴ σοι Bergk* 1351 *ποεῖσθαι* R. *ναῦς λέγων* RV (letzterer von zweiter Hand nach *Bekker*, *v. μακράς* von zweiter Hand nach *Dindorf*, *γρ. μακρὰς χωρὶς τοῦ λέγων* am Rande) *ναῦς μακράς* AΓ (*ἢ λέγων κείμενον*) *ΘΔ* 1352 *καταμισθοφορῆσαι, τοῦτον* vulgo *τούτων* R *τοῦθ'* A *τοῦτον* B

AGORAKRITOS.

Zeus weifs es, liebster, deine Ohren klappten auf
wie ein Sonnenschirm und gingen dann auch wieder zu.

DEMOS.

Das war aus mir geworden? ganz ein blöder Greis!

AGORAKRITOS.

Und wenn zwei Redner sprachen, einer, Schiffe sei'n
zu bau'n, der andre, Richter- und Versammlungs-Sold
zu zahlen, so gewann, der von dem Solde sprach,
die Oberhand, und mit dem Schiffbau war es nichts.
(Demos neigt das Gesicht zu Boden.)
Was bückst du dich und stehst nicht grade wie zuvor?

DEMOS.

Ich schäme mich der frühern Thorheit allzusehr.

AGORAKRITOS.

Du bist nicht schuld dran, mach dir keinen Gram darum,
nur die dich so betrogen. Doch nun sage mir;
wenn jetzo ein verruchter Kläger kommt und sagt:
'es giebt kein Brot, ihr Richter, in Athen für euch,
wenn ihr in diesem Handel nicht ein schuldig sprecht,'
was wirst du dann mit diesem Kläger machen? nun?

DEMOS.

Aus steiler Höhe schleudr' ich in den Abgrund ihn,
nachdem ich ihm Hyperbolos an den Hals gehängt.

τοῦτο θ' ΓΔ τῶνδ' Kock verbessert von *Elmsley* 1353 *ἂν* fehlt im V 1355 *προτέραις* A. *ἁμαρτίας Aldus* 1357 *νῦν δὲ* codd. *νῦν δὴ Brunck νυνδὶ Seidler* 1359 *ἡμῖν ΘΔ. ταῖς* οἷς *Γ* 1363 *χρεμάσας* V

1351 Phaborin. 1243 9 *ναῦς μακρὰς τὰς τριήρεις Ἀριστοφάνης φησὶν ἐν ἱππεῦσι* 1355 Zonaras I 95 *αἰσχύνομαι αἰδοῦμαι. ταῖς προτέραις ἁμαρτίαις αἰσχύνομαι.* Suidas *αἰσχύνομαι ταῖς προτέραις ἁμαρτίαις.* cf. Phaborin. 80 51 1362 f. Suidas *ὑπέρβολον λίθον ... Ἀριστοφάνης ἆρας μετέωρον εἰς τὸ βάραθρον ἐμβαλῶ Ἐκ τοῦ λάρυγγος ἐκχρεμάσας ὑπέρβολον*

ΑΓΟΡΑΚΡΙΤΟΣ

τουτὶ μὲν ὀρθῶς καὶ φρονίμως ἤδη λέγεις,

τὰ δ᾽ ἄλλα φέρ᾽ ἴδω πῶς πολιτεύσει φράσον.

ΔΗΜΟΣ

πρῶτον μὲν ὁπόσοι ναῦς ἐλαύνουσιν μακρὰς
καταγομένοις τὸν μισθὸν ἀποδώσω ᾽ντελῆ.

ΑΓΟΡΑΚΡΙΤΟΣ

πολλοῖς γ᾽ ὑπολίσποις πυγιδίοισιν ἐχαρίσω.

ΔΗΜΟΣ

ἔπειθ᾽ ὁπλίτης ἐντεθεὶς ἐν καταλόγῳ
οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται,
ἀλλ᾽ ὥσπερ ἦν τὸ πρῶτον ἐγγεγράψεται.

ΑΓΟΡΑΚΡΙΤΟΣ

τοῦτ᾽ ἔδακε τὸν πόρπακα τὸν Κλεωνύμου.

ΔΗΜΟΣ

οὐδ᾽ ἀγοράσαγένειος οὐδεὶς ἐν ἀγορᾷ.

ΑΓΟΡΑΚΡΙΤΟΣ

ποῦ δῆτα Κλεισθένης ἀγοράσει καὶ Στράτων;

ΔΗΜΟΣ

τὰ μειράκια ταυτὶ λέγω τἀν τῷ μύρῳ,
ἃ στωμυλεῖται τοιαδὶ καθήμενα·
᾽σοφός γ᾽ ὁ Φαίαξ δεξιῶς τε κατέμαθεν,
ξυνερτικὸς γάρ ἐστι καὶ περαντικὸς

1366 *ἐλαύνουσι* schol. *ἐλαύνωσι ΘΔ* 1368 *γ᾽*] *δ᾽* R. *ὑπολίσφοις Brunck ὑπολίποις* R 1369 *ἔπειθ᾽ ὁ πολίτης* codd. *ἔπειτα πολίτης Seager ἔπειθ᾽ ὁπλίτης Thiersch. ἐντιθεὶς* V (nach *Bekker*) *Γ* (*γρ. ἐντεθεὶς*) *ἐντιθεὶς Θ* 1370 *σπονδὰς Γ σποῦδὰς Θ. μεταγραφήσεται Aldus* 1371 *ὅσπερ* RV nach *Bekker. ἐγγράψεται* RΔ 1372 *ἔδαχνε Θ ἔδαχνε Δ. τὸν Κλ.* R nach *Bekker τοῦ* V (*ut videtur, cod.* R᾽ *Dindorf*) 1373 *ἀγοράσει γ᾽* (*τ᾽* R *δ᾽ ΘΔ*) *ἀγένειος οὐδεὶς ἐν ἀγορᾷ* vulgo *ἀγοράσαγένειος Dindorf. ἐν τ᾽ ἀγορᾶι οὐδεὶς* R *οὐδεὶς ἐν τἀγορᾶι* VΓΘΔ *οὐδ᾽ ἐν τἀγορᾷ G. Hermann ἐν τἀγορᾷ τ᾽ ἀγένειος οὐδεὶς ἀγοράσει Kock οὐδ᾽ ἀγοράσει γ᾽ ἀγένειος οὐδεὶς ἐν πόλει Ad. von Velsen* 1375 —1380 Wursthändler bei *Aldus* 1375 *ὅπου τὰ μειράκια, λέγω τἀν Meineke* 1377 *σοφός γ᾽* RVAΓΘΔ *δεξιός γ᾽* C *δεξιὸς* B. *δεξιῶς τ᾽* RVΓ *δεξιῶς* AΘ (*γρ. τ᾽*) *Δ σοφῶς τ᾽* C *καὶ σοφῶς* B. *οὐκ ἀπέθανε* RVCΓ (*γρ. Θ*) *οὐκ ἀπέθανεν* B *ἐμάνθανε* AΘΔ *τε κατέμαθε Dindorf* 1378 *συνερκτικὸς* vulgo *ξυνερκτικὸς* ACB *συνειρκτικὸς Küster*

1368 Suidas *ὑπολίσποις ἐστενωμένοις. ὑπολίσποις πυγιδίοισι.* Pha-

AGORAKRITOS.

Das klingt nun ganz verständig schon und ordentlich;
doch sage, wie du im übrigen zu regieren denkst.

DEMOS.

Zuerst denk' ich der Flottenmannschaft, kehrt sie heim,
auf einmal auszuzahlen ihren ganzen Sold.

AGORAKRITOS.

Da wird gar mancher schwach bestellte Popo sich freu'n.

DEMOS.

Und dann, wer ins Hoplitenverzeichnifs eingereiht,
wird auf Verwendung andrer nicht vom Platz gerückt;
geschrieben bleibt sein Name, wo er einmal steht.

AGORAKRITOS.

Kleonymos, das lockert dir wohl deinen Schild!

DEMOS.

Und auf dem Markte redet kein bartloser mehr.

AGORAKRITOS.

Wo aber redet Kleisthenes und Straton dann?

DEMOS.

Die Jüngelchen mein' ich, die im Laden des Parfümeurs
die Zeit todt schlagen mit dem albernsten Geschwätz:
'ein weiser Mann ist Phaiax; er versteht die Kunst,
er weifs die Worte zu stellen und den Schlufs zu zieh'n,

---

borin. 1808 29 *ὑπολίσποις παρὰ τῷ Ἀριστοφάνει ἐν ἱππεῦσιν* 1369 f. Suidas *κατάλογος ... Ἀριστοφάνης ἔπειθ' ὁ πολίτης ἐντεθεὶς ἐν καταλόγῳ Οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται* 1373 Phaborin. 24 33 *ἀγοράσει ἐν ἀγορᾷ διατρίψει. Ἀριστοφάνης οὐδ' ἀγοράσει γ' ἀγένειος οὐδεὶς ἐν ἀγορᾷ* 1377 ff. Suidas (Westermann *βιογράφοι* 357 96) *Φαίαξ ῥήτωρ. Ἀριστοφάνης φησὶ σοφός γ' ὁ* (*σοφὸς ὁ* VE Med.) *Φαίαξ δεξιῶς* (so BV *δεξιός* vor *Bernhardy;* siehe *Toup* opusc. crit. I 538) *τ' οὐκ ἀπέθανε ... συνεριστικὸς* (*συνερεισικὸς* BE *συνεριστικῶς* V) *γάρ ἐστι καὶ περαντικὸς Καὶ γνωμοτυπικὸς καὶ σαφὴς* (*καὶ κο .... καὶ σαφὴς* für *καὶ σαφὴς* BE Med. 'lacuna fere septem litterarum in Med.' *Bernhardy*) *καὶ κρουστικὸς Καταληπτικός τ' ἄριστα τοῦ θορυβητικοῦ. Οὔκουν καταδακτυλικὸς* (*καὶ δακτυλικὸς* E) *σὺ τοῦ λαλητικοῦ;* Phaborin. 1817 20 *Φαίαξ δεινὸς ῥήτωρ ... κωμῳδεῖται δὲ παρὰ τῷ Ἀριστοφάνει ὡς παρακρούων τὰ μειράκια καὶ ἐξαπατῶν. συνερτικὸς δὲ ὁ αὐτός ... περαντικὸς δέ* 1378 Suidas *συνερκτικός* (*συνεκτικός* V). — *περαντικός*

καὶ γνωμοτυπικὸς καὶ σαφὴς καὶ κρουστικος
καταληπτικός τ᾽ ἄριστα τοῦ θορυβητικοῦ.

ΑΓΟΡΑΚΡΙΤΟΣ

οὔκουν καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ;

ΔΗΜΟΣ

μὰ Δί᾽ ἀλλ᾽ ἀναγκάσω κυνηγετεῖν ἐγὼ
τούτους ἅπαντας παυσαμένους ψηφισμάτων.

ΑΓΟΡΑΚΡΙΤΟΣ

ἔχε νυν ἐπὶ τούτοις τουτονὶ τὸν ὀκλαδίαν
καὶ παῖδ᾽ ἐνόρχην ὅσπερ οἴσει τόνδε σοι·
κἄν που δοκῇ σοι τοῦτον ὀκλαδίαν ποίει.

ΔΗΜΟΣ

μακάριος ἐς τἀρχαῖα δὴ καθίσταμαι.

ΑΓΟΡΑΚΡΙΤΟΣ

φήσεις γ᾽ ἐπειδὰν τὰς τριακοντούτιδας
σπονδὰς παραδῶ σοι. δεῦρ᾽ ἴθ᾽ αἱ σπονδαὶ ταχύ.

ΔΗΜΟΣ

ὦ Ζεῦ πολυτίμηθ᾽ ὡς καλαί. πρὸς τῶν θεῶν
ἔξεστιν αὐτῶν κατατριακοντούτισαι;
πῶς ἔλαβες αὐτὰς ἐτεόν;

ΑΓΟΡΑΚΡΙΤΟΣ

οὐ γὰρ ὁ Παφλαγὼν
ἀπέκρυπτε ταύτας ἔνδον, ἵνα σὺ μὴ λάβοις;

1379 *γλωττοτυπικὸς Meineke. κἀναφὴς G. Hermann* 'ut prehendi se non patiatur' (*κἀσαφὴς* andere) *καὶ συναφὴς Meineke* 1381 Chor bei *Aldus* von *Scaliger* ausgeworfen. *οὐκοῦν* ohne Fragezeichen vor *Brunck* (*οὔκουν* RV nach *Bekker* 1382 *κυναγχιᾶν G. Hermann* 1383 *τούτοις Θ τούτοις Δ. παυσαμένοις Θ παυσαμένους Δ* 1384 *νῦν* vor *Brunck* (*νυν* RV nach *Bekker*) 1385 *ἔνορχιν ΘΔ ἔνορχιν Γ* 1386 *πόει* RVΓΘΔ 1387 *γρ. κάθημαι Γ* 1388 *δ'* RV 1389 *ἴθι ΘΔ* 1392 *ἔλαβε ταύτας* (*ελαβεταυτας* R nach *Bekker*) vulgo *ἔλαβες* ΑCΓΘΔΒ *αὐτὰς Bentley* 1393 *ἀπέκρυπτεν αὐτὰς Hirschig. μὴ σὺ* vulgo *μὴ συλλάβῃς Bentley σὺ μὴ* RV (beide nach *Bekker*) BP. *λάβῃς* vulgo *λάβοις Brunck* (RV nach *Bekker*)

Sentenzen einzuflechten, fesselt und macht sich klar,
und zwingt die Menge zum Schweigen auf das herrlichste.'

AGORAKRITOS (macht die entsprechende Geberde).

Mit kräft'gem Stofse bring die Schwätzer du zur Ruh.

DEMOS.

Nein, nöth'gen will ich bei Zeus sie, dafs sie sich fortan
der Volksbeschlüss' enthalten und hübsch jagen geh'n.

AGORAKRITOS (indem ein Knabe mit einem Klappstuhl erscheint).

Wohlan! auf die Bedingung nimm den Feldstuhl hier
und diesen markigen Jungen, der ihn tragen soll;
und pafst es dir, so lafs ihn selbst dein Feldstuhl sein.

DEMOS.

Glückselig bin ich wieder nach der alten Art.

AGORAKRITOS.

Noch mehr, wenn ich die Waffenruhe dir zugeführt,
die dreifsigjährige. Waffenruhe, komm herbei!

(ein junges Weib erscheint als Waffenruhe.)

DEMOS.

O ehrenreicher Zeus, wie schön! Beim Himmel, sag':
ist es erlaubt, mit der Waffenruh' ins Bett zu geh'n?
Wie kam sie in deine Gewalt?

AGORAKRITOS.

Der Paphlagonier
hielt eifrig sie verborgen, dafs du sie nicht bekämst.

